KANONES KAI DOGMATA TL·S HIERAS KAI HAGIAS OIKOUMENIKL·S...




BIBLIOTECA VITT. EMANUELE
FONDO EBORENSE
36
18 D
15


ΚΑΝΟΝΕΣ ΚΑΙ ΔΟΓΜΑΤΑ ΤΗΣ ΙΕΡΑΣ ΚΑΙ ΑΓΙΑΣ ΟΙΚΟΥΜΕΝΙΚΗΣ

ἐν Τριδέντῳ γενομένης
συνόδου
Ἐπὶ Παύλου τρίτου, Ιουλίου τρίτου, καὶ Πίου τετάρτου
ἄκρων ἀρχιερέων,
ἐκ τῆς Λατίνων φωνῆς εἰς τὴν τῶν Γραικῶν μεταφρασθέντα ἐκδοθέντα τε προστάξαντος τοῦ
ἁγιωτάτου Κυρίου ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΙΓ´ ΑΚΡΟΥ ΑΡΧΙΕΡΕΩΣ




ΕΝ ΡΩΜΗΙ,
Διὰ Φραγκίσκου τοῦ Ζανέτου α φ π γ´.



ΤΩΙ ΑΓΙΩΤΑΤΩΙ ΚΑΙ ΜΑΚΑΡΙΩ-
τάτῳ ἡμῶν δεσπότῃ

ΓΡΗΓΟΡΙΩΙ ΤΡΙΣΚΑΙΔΕΚΑΤΩΙ,
τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας
ἄκρῳ ἀρχιερεῖ.



Ματθαῖος Δεβαρῆς μετὰ τὴν ὀφειλομένην προσκύνησιν, ἐν κυρίῳ χαίρειν.



ΕΝ ΤΟΙΣ ἄρτι παρεληλυθόσι χρόνοις, τῶν τῆς Τριδεντινῆς συνόδου ὅρων τε καὶ κανόνων, μετὰ τῆς προηγουμένης αὐτῶν ἱερᾶς διδασκαλίας, ὑπὸ τοῦ τῆς μακαρίας μνήμης Πίου τετάρτου ἄκρου ἀρχιερέως κυρωθέντων τε καὶ ἐκδοθέντων· ἐμοί τε ὑπ' ἐκείνου ὡς πλείστοις ὠφελεῖν ἐπιθυμοῦντος, ἵνα εἰς τὴν ἑλλάδα φωνὴν ἐπ' ὠφελείᾳ τοῦ τῶν Γραικῶν γένους τὰ δεδογμένα τῇ συνόδῳ ταῦτα μεταφράσαιμι προσταχθέντος, ἡδέως μὲν ἤκουσα τοῖς ὁμοφύλοις μου, τοῖς πάλαι μὲν σπουδαζομένοις, νῦν δὲ ὑπὸ πάντων ἀμελουμένοις, πρὸς τοῦ ἄκρου ἀρχιερέως ἐπιμελείας ἀξιουμένοις. ἐλπίζων ἐπὶ τοσοῦτον τῷ τῆς Ῥώμης ἀποστολικῷ θρόνῳ, τὸ γένος ἐκεῖνο τῷ εὐεργετήματι τούτῳ προσαχθήσεσθαι, ὥστε τὴν ἐκ φιλαπεχθημόνων τινῶν ἀνθρώπων διαβολῆς ἐγγινομένην αὐτῷ περὶ τῆς Ῥωμαϊκῆς ἐκκλησίας μοχθηρὰν ὑπόληψιν ἀποθέμενον, τὴν ταύτης ὀρθόδοξον πίστιν τε καὶ διδασκαλίαν, καὶ τὸ τοῦ Ρω-


μαϊκοῦ ἀρχιερέως πρωτεῖον ἀξίωμα, καὶ τὴν πάλαι
ὑπὸ τῶν ἀρχαίων τοῦ γένους ἐκείνου σοφωτάτων τε καὶ ἁ-
γιωτάτων πατέρων δοκιμασθεῖσάν τε καὶ παραδεχθεῖ-
σαν αὐθεντίαν, ἔτι καὶ νῦν ἀναγνωρίσαι τε καὶ ἀποδέ-
ξασθαι. ὅθεν τήν τε ἕνωσιν τῶν ἐκκλησιῶν καὶ τὴν τοῦ
γένους ἐκείνου ἐλευθέρωσιν ὑπῆρχεν ἂν προσδοκᾶν. οὐ
μὴν ἀλλὰ καίπερ ὑπὸ τῆς ἐλπίδος ταύτης ἀνεγερθεὶς
ἐγὼ, ὅμως πρὸς τὴν δυσχέρειαν τῆς πραγματείας ἰ-
λιγγιῶν, ἐπὶ πολὺ παρῃτήθην τὸ ἐγχείρημα. ὕστερον
μέν τοι τὸ τοῖς ὁμοφύλοις μου τοιοῦτον ἀγαθὸν προ-
ξενοῦντι ἄκρῳ ἀρχιερεῖ, μὴ πρὸς τοῦτο πείθεσθαι καὶ
κατ' ἐμὲ συνεργεῖν ἀθέμιτον ἡγησάμενος· ἐνθυμηθεὶς
τε τὸ τοῦ σοφοῦ παράγγελμα, μὴ μισήσῃς ἐπίπονον ἐργα
σίαν, καὶ ταῦτα τῶν πάντ' ἀρίστων μου εὐεργετῶν Αλε-
ξάνδρου Φαρνεσίου, καὶ Γουλιέλμου Σιρλέτου Καρδινά-
λεων, τῇ πρὸς τὴν ὀρθόδοξον πίστιν καὶ τὸ τῶν Γραικῶν
γένος προσπαθείᾳ, εἰς τὸν πόνον τοῦτον ἀντέχεσθαι συ-
νεχῶς με προτρεπόντων, τέλος τῷ παναγάθῳ θεῷ τῷ
σοφίζοντι νήπια πεποιθήσας, ὑπέστην τὸ λειτούργημα,
καὶ σὺν πολλαῖς ἀγρυπνίαις καὶ πόνοις πολλοῖς τῷ ἔρ-
γῳ τούτῳ προσκαρτερήσας, ἄρτι τὴν μετάφρασιν ἐ-
ξεπόνησα, καὶ τῇ προθέσει τοῦ προειρημένου ἀρχιερέως,
τῷ πλατυσμῷ τῆς ὀρθοδόξου πίστεως σπουδάζοντος,
ἐφ' ὅσον ἠδυνήθην, ἐπήρκεσα. εἰς οὖν τὴν ὀρθόδοξον
πίστιν ἀνῆκον ἔργον ἐκπεπονηκὼς, τίνι ἂν ἁρμοδιώτερον,
ἢ πρεπωδέστερον αὐτὸ ἀναθείμην, εἰ μὴ τῇ ὑμετέρᾳ πα
ναγιότητι; τῇ τὸ τῶν Γραικῶν γένος φιλοφρόνως καὶ πα-
τρικῶς ἀσπαζομένῃ; τῇ τὴν πρὸς τὸ κρείττονα πραγμά-
των κατάστασιν ἐπαναγαγεῖν καὶ τ' ἀγαθὰ πάντα τοῖς
ἀνθρώποις ἐπανακτήσασθαι, εἰς τὸν ἐκείνου τόπον ὑπὸ
τοῦ παναγάθου θεοῦ καταταθείσῃ; ἀρχῆθεν τε, ἵνα

τὰς

τὰς τῆς ψυχῆς τε καὶ διανοίας προεχούσας ἀρετὰς αὐτῆς τανῦν σιωπήσω, οὐδέποτε προθυμότερον ποιησαμένη, ἢ τὸ τὴν ὑπόθεσιν τοῦ τῶν χριστιανῶν καθολικοῦ σεβάσματος κρατύνειν τε καὶ παντὶ σθένει διαφυλάττειν. καὶ τοὺς ἀφηνιάζοντάς τε καὶ τὸν τοῦ Χριστοῦ χιτῶνα διασχίζειν πειρωμένοις, οὐ μόνον καθ' ἕνα, ἀλλὰ καὶ ἀθρόως ἀνακόπτειν τε καὶ καταστέλλειν. ἀνθ' ὧν αὐτῇ παρὰ τοῦ δικαίου μισθαποδότου θεοῦ, οὐ μόνον ἐν τῷ νῦν βίῳ τοῦ τῆς κορυφαίας ἀποστολικῆς ὑψίστου ἀξιώματος χορηγηθέντος, ἀλλὰ κἂν τῷ κρείττονι ἐκείνῳ στεφάνου ἀποκειμένου, τί ἂν ἔτι τῇ ἀξίᾳ τε καὶ δόξῃ αὐτῆς δύναιτο προσγενέσθαι; διόπερ ἐγὼ νῦν οὐχ ὡς δῶρον τουτί μου τὸ πόνημα προσφέρω, ἅτε δὴ μικρόν τε καὶ πολλῷ καταδεέστερον ἂν γενόμενον τῶν αὐτῇ προσηκόντων καὶ ὀφειλομένων, ἀλλὰ μᾶλλον ἵνα τῇ τε τῆς ὑμετέρας παναγιότητος καὶ τῇ περὶ αὐτὴν σοφῶν κρίσει καὶ δοκιμασίᾳ φέρων ὑποτάξω. ἅμα μὲν τὴν χρησιμωτάτην τῇ τε πραγματείᾳ, καὶ τοῖς ἐντευξομένοις αὐτῇ τοῦτ' εἶναι ἡγούμενος. ἅμα δὲ καὶ τὴν ἐπ' αὐθαδίᾳ καὶ θρασύτητι ὑπόληψιν ἐκκλίνων. ἢ δικαίως ἂν ἐνέχεσθαι ὑποληφθείην, ἐὰν ἐπὶ τοσοῦτον τῷ σεβάσματι καὶ τῇ ὀρθοδόξῳ πίστει ἀνήκουσαν πραγματείαν, ἐφ' ἣ τοσοῦτοι σοφώτατοι ἄνδρες τοσοῦτον χρόνον ἐπόνησαν, ἐγὼ τῇ ἰδίᾳ συνέσει πεποιθήσας, ἄνευ ἐξετάσεως καὶ δοκιμασίας ἀκριβεστέρας τε καὶ συνετωτέρας, καὶ μάλιστα τῆς παρὰ τῆς ὑμετέρας παναγιότητος, ἧ πάντα τὰ τῶν χριστιανῶν πρὸς αὐτοῦ τοῦ δεσπότου Χριστοῦ πράγματα ἐπιτέτραπται, ἐκδιδοίην. διόπερ κἂν ἐφ' ἑκάστῃ τῶν ἐν τῇ πραγματείᾳ οὐκ εὐαριθμήτων οὐσῶν δυσχερειῶν, αἳ τὰ μὲν ἐκ τῶν ὑποκειμένων ὑποθέσεων, τὰ δ' ἐκ τοῦ τρόπου τῆς φράσεως ἐπηκολούθησαν, τὰς τῶν κατὰ τὴν

βασι-

βασιλίδα τῶν πόλεων ταύτην, τῶν δοκιμωτάτων θεολόγων, ἔτι δὲ καὶ τῶν περατωμένῃ τῇ συνόδῳ παραγενομένων πατέρων πολλῶν γνώμας ἐπιμελῶς πάνυ καὶ ἀκριβῶς ἐξητακὼς ἐγὼ, ἔτι δὲ πόνῳ πλείστῳ, καὶ φορτικωτέρᾳ χρόνου τριβῇ τὴν ἑλληνικὴν ἑρμηνείαν τῶν τε λέξεων καὶ ῥητῶν τῆς συνοδικῆς ταυτησὶ πραγματείας, ἐκ τῆς κατὰ Γραικοὺς δημοσίας τῶν θεοπνεύστων γραφῶν ἐκδόσεως, καὶ τῶν ἄλλων τῶν ἑλληνικῶς τὰ ἱερὰ λόγια ἢ ἐξηγησαμένων, ἢ καὶ τῶν εἰς αὐτά τι ἀνηκόντων συγγραψάντων ἁγίων ἀνδρῶν, ἠράνισμαι καὶ συνελεξάμην, ὅμως ἐπείπερ ἐνδέχεται καὶ σφαλῆναι με ἐνίοτε, ἢ τῷ μὴ ἐπιτετυχηκέναι τοῦ σκοποῦ τινῶν νοημάτων, ἢ τῷ μὴ σαφῶς ἐνίοτε τῇ μεταφράσει τὸ λατινικὸν ἰδίωμα παραστῆσαι, διὰ ταῦτα ἀκριβεστέρας ἐπισκέψεως δεῖσθαι τὸ πόνημά μου τοῦτο ἡγησάμενος, εἰκότως αὐτὸ τῇ ὑμετέρᾳ προσφέρω παναγιότητι, ὅπως κατ' ἐπιτροπὴν αὐτῆς ὑπὸ τῶν τῆς ἑλληνικῆς γλώττης ἐπιστημόνων καὶ ἄλλως σοφωτάτων τινῶν τῆς Ρωμαϊκῆς ἁγίας ἐκκλησίας Καρδινάλεων, ἢ ἄλλων τινῶν οἳ ἂν εἰς τοῦτο ἐπιτήδειοι τῇ ὑμετέρᾳ δόξωσι παναγιότητι διορθωθὲν, καὶ ὑπ' αὐτῆς δοκιμασθὲν, εἰς τὸ ἐμφανὲς ἔχοι προϊέναι, καὶ παρὰ τῷ Γραικῶν γένει, οὗ μάλιστα χάριν πεπραγμάτευται, τῇ πανσεβάστῳ Ρωμαϊκῇ ἐκκλησίᾳ διαλλάξαν αὐτὸ καὶ συναγαγὸν, ὠφέλειάν τε καὶ ἀφορμὴν τῆς εὐσεβείας παρασχεῖν. ὅπερ ἔμοι γε, ὃς ἐν Ελλάδι μὲν γεγένημαι, ἐν Ρώμῃ δὲ παιδόθεν ἀνατέθραμμαι, οὐδὲν ἂν κατ' εὐχὰς μᾶλλον συμβαίη. ὃ καὶ θεὸς ἐκτελέσειεν εἰς δόξαν αὐτοῦ, καὶ κλέος τῆς ὑμετέρας παναγιότητος. ἧς ἐγὼ τοὺς πόδας γονυπετῶς ἀσπαζόμενος, τὴν ἐν αὐτῇ θείαν εἰκόνα σέβομαί τε καὶ προσκυνῶ.



ΚΑΝΟΝΕΣ ΚΑΙ ΔΟΓΜΑΤΑ ΤΗΣ ΙΕΡΑΣ ΚΑΙ ΑΓΙΑΣ οἰκουμενικῆς συνόδου τῆς ἐν Τριδέντῳ γενομένης,

Ἐπὶ Παύλου τρίτου, Ἰουλίου τρίτου, καὶ Πίου τετάρτου ἄκρων ἀρχιερέων.

ἐκ τῆς λατίνων φωνῆς εἰς τὴν τῶν γραικῶν μεταφρασθέντα.

ΒΟΥΛΛΑ ΚΑΤΑΓΓΕΛΙΑΣ ΤΗΣ ἐν Τριδέντῳ συνόδου Ἐπὶ Παύλου τρίτου ἄκρου ἀρχιερέως.



ΑΥΛΟΣ ἐπίσκοπος, δοῦλος τῶν δούλων τοῦ θεοῦ, εἰς ἀΐδιον τοῦ πράγματος μνήμην. Συνορῶντες ἡμεῖς εὐθὺς ἐξ ἀρχῆς τῆς ἀρχιερατείας ἡμῶν, ἣν ἡ τοῦ παντοκράτορος θεοῦ πρόνοια οὐ δι' ἀξίαν ἡμετέραν, ἀλλὰ διὰ τὴν ὑπερβάλλουσαν αὐτῆς ἀγαθότητα ἡμῖν ἐπιτέτραφεν, εἰς οἵας πραγμάτων ταραχάς τε καὶ δυσχερείας ἡ ποιμενικὴ ἡμῶν μέριμνά τε καὶ ἀγρυπνία κεκλημένη εἴη, κατάθυμον μὲν ἡμῖν ὑπῆρχε, θεραπεῦσαι τὰς τοῦ χριστιανοῦ πολιτεύματος βλάβας, αἷς ἐκ πολλοῦ κεκάκωτό τε καὶ σχεδὸν κατεβέβλητο. ἀλλὰ γὰρ καὶ ἡμεῖς αὐτοί, ὡς ἄνθρωποι, ἀσθένειαν περικείμενοι, ὑποδεεστέραν πρὸς τὸ τοσοῦτον ἄχθος ἄρασθαι τὴν ἡμετέραν ἰσχὺν ᾐσθανόμεθα. κατανοοῦντες γὰρ εἰρήνης δεῖν πρὸς τὸ ἀπαλλάξαι καὶ διαφυλάξαι ἀπὸ τῶν ἐπικειμένων πλείστων κινδύνων τὸ χριστιανικὸν πολί-

τεῦμα, πάντα μίσους καὶ ἀπεχθείας πλήρη τὰ πράγματα εὕρομεν, διχονοούντων πρὸς ἀλλήλους ἐκείνων μάλιστα τῶν βασιλέων, οἷς ὑπὸ θεοῦ τὸ σύνολον ἐφεῖται τῶν πραγμάτων κεφάλαιον. πρὸς δὲ τούτοις, μίαν εἶναι ποίμνην, ἕνα τὸν ποιμένα τοῦ κυριακοῦ ποιμνίου πρὸς τὸ τὴν τῆς χριστιανικῆς εὐσεβείας ὁλοκληρίαν, καὶ τὴν τῶν οὐρανίων ἀγαθῶν ἐλπίδα ἐν ἡμῖν βεβαιῶσαι, ἀναγκαῖον εἶναι ἐπιστάμενοι, σχίσμασι καὶ στάσεσι καὶ αἱρέσεσιν εὕρομεν τὴν τοῦ χριστωνύμου πολιτεύματος ἑνότητα διεσχισμένην καὶ σχεδὸν διεσπαραγμένην. κατησφαλίσθαι δὲ καὶ κατὰ τῶν τῶν ἀσεβῶν ὅπλων τε καὶ ἐπιβουλευμάτων περιτετειχίσθαι τὸ χριστιανικὸν πολίτευμα ἀσμένως ἂν ἰδόντες, τοὐναντίον διὰ τὰ πάντων ἡμῶν παραπτώματά τε καὶ πταίσματα, τῆς τοῦ θεοῦ δηλονότι ὀργῆς ταῖς ἡμετέραις ἁμαρτίαις ἐπεμβαινούσης, πρῶτον μὲν τὴν Ῥόδον ἀπολομένην κατελάβομεν, ἔπειτα τὴν τῶν Οὔγγρων πάντη κεκακωμένην, προμεμελετημένον τε καὶ ἤδη ἐνιστάμενον κατά τε τῆς Ἰταλίας καὶ Αὐστρίας καὶ Ἰλλυρίας κατὰ γῆν καὶ κατὰ θάλασσαν πόλεμον, τοῦ ἀσεβοῦς καὶ ἀπηνοῦς ἐχθροῦ τῶν χριστιανῶν Ἀγαρηνοῦ, μηδέποτε ἡσυχάζοντος, ἀλλὰ τὰς τῶν ἡμετέρων ἀπεχθείας τε καὶ στάσεις, τοῦ τὰ ἑαυτοῦ εὖ τίθεσθαι ἀφορμὴν ποιουμένου. ἐν τοσαύτῃ οὖν ἡμεῖς ὡς ἐλέγομεν αἱρέσεών τε καὶ στάσεων καὶ πολέμων ζάλῃ, καὶ τοσαύτῃ κυμάτων ἐπάρσει πρὸς τὸ τὴν τοῦ Πέτρου ναῦν οἰακονομῆσαι κεκλημένοι, καὶ τῇ ἡμετέρᾳ αὐτῶν δυνάμει οὐ πάνυ τι πεποιθότες, πρῶτον μὲν τὴν μέριμναν ἡμῶν ἐπὶ τὸν κύριον ἐπερρίψαμεν, ἵν᾿ ἐκεῖνος ἡμᾶς διαθρέψειε, καὶ τὴν καρδίαν ἡμῶν στηριγμῷ καὶ ἰσχύϊ, τὸν νοῦν γνώσει καὶ σοφίᾳ καταρτύσειε. ἔπειτα κατὰ νοῦν ἀναπολοῦντες τοὺς πρὸ ἡμῶν γεγονότας θαυμασίᾳ σοφίᾳ καὶ ἁγιωσύνῃ διαπρέψαντας, πολλάκις ἐν τοῖς ἐσχάτοις τοῦ χριστιανικοῦ πολιτεύματος κινδύνοις, ἀρίστην καὶ καιριωτάτην θεραπείαν τὰς οἰκουμενικὰς συνόδους,

νόδους, καὶ τοὺς καθόλου συγκροτηθέντας τῶν ἐπισκόπων
συλλόγους προσενηνοχέναι, καὶ αὐτοὶ πρὸς τὸ σύνοδον οἰ-
κουμενικὴν συγκροτῆσαι τὸν νοῦν προσεβάλομεν. ἀνακρί-
ναντες δὲ τὰς τῶν βασιλέων γνώμας, ὧν ἡμῖν ἐν πρώτοις
πρόσφορος ἐδόκει καὶ καίριος πρὸς τὸ πρᾶγμα τοῦτο ἡ συ-
ναίνεσις, καὶ πρὸς τὸ οὕτως ὅσιον ἔργον οὐκ ἀλλοτρίως δια-
κειμένους τότε αὐτοὺς εὑρόντες, εἰς Μαντύαν πόλιν τὴν οἰ-
κουμενικὴν σύνοδον καὶ τὸν καθόλου συγκροτηθησόμενον
σύλλογον τῶν οἷς προσήκει ἐπισκόπων τε καὶ ἑτέρων πατέρων,
κατηγγείλαμεν, ἔτει τῷ τῆς κυρίου ἐνσαρκώσεως, καθὼς ἐν τοῖς
ἡμετέροις γράμμασί τε καὶ ὑπομνήμασι μεμαρτύρηται,
,αφλζ' τρίτῳ ὄντι τῆς ἀρχιερατείας ἡμῶν, τῇ δεκάτῃ
φθίνοντος τοῦ μαΐου μηνὸς, καταρχθησομένην. ἐλπίδα σχε-
δόν τι βεβαίαν ἔχοντες τοῦ ἐπειδὰν ἐκεῖσε ἐν ὀνόματι κυρίου
συνεληλυθότες εἴημεν, αὐτὸν τὸν κύριον καθὼς ἐπηγγείλα-
το, ἐν μέσῳ ἡμῶν ἔσεσθαι, καὶ διὰ τὴν αὐτοῦ ἀγαθότητα
καὶ οἰκτιρμὸν, πάσας τὰς τῶν ἡμετέρων χρόνων τρικυμίας,
καὶ τοὺς κινδύνους πάντας τῷ πνεύματι τοῦ στόματος αὐτοῦ
καταπαύσειν. ἀλλὰ γὰρ οἷα φιλεῖ ὁ τοῦ ἀνθρωπίνου γένους ἐ-
χθρὸς πᾶσι τοῖς ἀγαθοῖς ἔργοις ἐπιβουλεύειν, πρῶτον μὲν πα-
ρὰ πᾶσαν ἡμετέραν ἐλπίδα τε καὶ προσδοκίαν, ἡ Μαντυανῶν
πόλις ἡμῖν ἀπηρνήθη, ἐὰν μὴ ῥητά τινα παραδεξαίμεθα, ἃ τῇ
τῶν προλαβόντων ἡμᾶς προαιρέσεως, τῆς τε τῶν καιρῶν κα-
ταστάσεως καὶ τῇ ἡμῶν τε καὶ τῆς ἁγίας καθέδρας ταύτης καὶ τῇ
ἐκκλησιαστικῆς ἀξίας τε καὶ ἐλευθερίας πάντῃ ἀλλότρια ἐ-
τύγχανον ὄντα, ἃ ἐν ἑτέροις ἡμῶν γράμμασιν ἐκτεθείκαμεν.
διόπερ ἄλλον τινὰ τόπον εὑρεῖν καὶ πόλιν ἄλλην αἱρεῖσθαι
ἀνάγκης ἐπικειμένης, καὶ ταύτην οὐ παραχρῆμα ἡμῖν ἐπιτη-
δείαν εὑρεῖν ἐπερχομένου, εἰς τὴν νουμηνίαν τοῦ ἐπιόντος νοεμβρίου
παρατείνειν τὴν τῆς συνόδου καταρχὴν ἠναγκάσθημεν. ἐν
δὲ τούτῳ τοῦ ἀπηνεστάτου καὶ διηνεκοῦς ἡμῶν ἐχθροῦ, φημὶ δὴ τῶν

Ἀγαρηνῶν τυράννου, μεγάλῳ στόλῳ τῇ Ἰταλίᾳ ἐπιθεμένους, καὶ χωρία τινὰ παραθαλάσσια τῆς Ἀπουλίας καταλαβόντας, καὶ ταῦτα ἐξανδραποδισαμένους τε καὶ ἀνάστατα ποιησαμένους, ἡμεῖς ἐν τῷ μεγίστῳ πάντων φόβῳ τε καὶ κινδύνῳ περὶ τὸ τὰ παραθαλάσσια τῆς ἡμετέρας ὀχυροῦν τε καὶ κατασφαλίζειν, καὶ τὸ τοῖς γειτνιῶσιν ἐπικουρεῖν κατησχολήμεθα. ἐμὴν ἐν τούτῳ τε πυνθάνεσθαι καὶ παρακαλεῖν τοὺς τῶν χριστιανῶν βασιλεῖς ἀπέστημεν, ἵνα τίνα περὶ ἐπιτηδείου καὶ προσφόρου τόπου εἰς τὸ τὴν σύνοδον ποιεῖν, γνώμην ἔχοιεν, ἡμῖν μηνύσαιεν. ὧν τὰς γνώμας ἀστάτους καὶ διαφόρους κατανοοῦντες, καὶ τὸν χρόνον ἐπὶ πλεῖον ἢ ἔδει παρατείνεσθαι, ἀρίστῃ ψυχῆς διαθέσει, ἔπι δὲ ὡς δοκοῦμεν καὶ βουλῇ ἀρίστῃ χρησάμενοι, Οὐϊκεντίαν προεκρίναμεν, πόλιν εὐθηνουμένην, καὶ τῇ τῶν Βενετῶν, τῶν ἡμῖν αὐτὴν συγχωρούντων ἀρετῇ τε καὶ ἀξιώματι καὶ δυνάμει παριέναι τε καὶ ἐνδιατρίβειν ἀσφαλῶς ἐν πρότοις πᾶσι παρεχομένην. οὐ μὴν ἀλλὰ τοῦ χρόνου ἤδη ἐπὶ πλεῖον προελθόντος, καὶ τὴν καινὴν ταύτην ὑποδοχὴν τῆς συνόδου δέον πᾶσι διαγγέλλειν, τῆς δὲ διαγγελίας ὑπὸ τῆς τοῦ νοεμβρίου νουμηνίας, ἥτις ἤδη παρῆν, προφθαθείσης, ἐγγίζοντος δὲ ἤδη τοῦ χειμῶνος, αὖθις ἑτέρᾳ προθεσμίᾳ τὴν καταρχὴν τῆς συνόδου εἰς τὸ ἐπιὸν ἔαρ κατὰ τὴν τοῦ μαΐου νουμηνίαν ὑπερθέσθαι ἠναγκάσθημεν. οὕπερ ἑδραίως διεγνωσμένου τε καὶ δεδογμένου, ἐν ᾧ αὐτοῖς τε ἡμᾶς καὶ τὰ λοιπὰ πάντα πρὸς τὸ τὸν σύλλογον ἐκεῖνον σὺν θεῷ καλῶς διατίθεσθαι καὶ συγκροτῆσαι ἐξηρτύομεν, πλεῖστον ὅσον διαφέρειν ἡγούμενοι τῇ συγκροτησομένῃ συνόδῳ καὶ τοῖς κοινοῖς τῶν χριστιανῶν τοὺς μεγιστᾶνας καὶ βασιλεῖς εἰρήνῃ καὶ ὁμονοίᾳ πρὸς ἑαυτοὺς συμφωνεῖν, διὰ ταῦτα ἡμεῖς τοὺς ἐν Χριστῷ ἀγαπητοὺς ἡμῶν υἱοὺς τόν τε ἀεισέβαστον ῥωμαίων αὐτοκράτορα Κάρολον, καὶ τὸν χριστιανικώτατον βασιλέα Φράγκισκον, στερεώματα καὶ στηρίγματα ὄντας τοῦ χριστιανικοῦ πολιτεύματος

τος

τος παρακαλεῖν καὶ ἀντιβολεῖν προεθέμεθα, ἵνα ἀλλήλοις τε καὶ ἡμῖν εἰς λόγους ἔλθοιεν, ὧν παρ' ἑκατέρῳ ἐκ πολλοῦ διὰ γραμμάτων τε καὶ Νουγκίων, ἔπι δὲ καί τινων τῶν ἐκ τοῦ συνεδρίου τῶν αἰδεσιμωτάτων ἡμετέρων ἀδελφῶν Καρδινάλεων, Λεγάτων πεμφθέντων, συχνάκις ἐτυγχάνομεν πεπραγματευμένοι, ὅπως ἐκ τῆς ἀπεχθείας καὶ διχοστασίας εἰς ὁμόνοιαν καὶ θεοσεβῆ φιλίαν συνέλθοιεν, καὶ τοῖς καταλιθάνουσι τῶν χριστιανῶν πράγμασιν ἐπικουρεῖν, ἃ δὴ σώζειν αὐτοῖς μάλιστα παρὰ θεοῦ δυνάμεως ἐγχειρισθείσης, εἰ τοῦτο ἐλλείποιεν, καὶ πρὸς τὸ κοινὸν τῶν χριστιανῶν ἀγαθὸν τὰ διαβούλια αὐτῶν μὴ κατευθύνοιεν, σκληρὰν καὶ ἀπότομον τὴν θεοῦ δίκην αὐτοῖς ὑφέξειν. ταῖς οὖν ἡμετέραις δεήσεσι κατανεύσαντες ποτὲ, εἰς Νίκαιαν συνῆλθον. οἷ καὶ ἡμεῖς μακρὰν καὶ τῇ γηραλέᾳ ἡμῶν ἡλικίᾳ χαλεπὴν πορείαν ἀνειλόμεθα διὰ θεὸν καὶ τὸ τὴν εἰρήνην συνθέσθαι. οὐ μὴν ἐν τῷ μεταξὺ παρελίπομεν, ἐπειδὰν ἡ τῇ συνόδῳ ἀφωρισμένη προθεσμία ἡ τοῦ μαΐου δηλονότι νουμηνία προσήγγιζε, τρεῖς Λεγάτοις ἀρετῇ τε καὶ ἀξίᾳ διαπρέποντας ἀπὸ πλευροῦ ἡμετέρου ἐκ τοῦ ἀριθμοῦ τῶν ἡμετέρων ἀδελφῶν τῆς κατὰ Ῥώμην ἁγίας ἐκκλησίας Καρδινάλεων ἐς Οὐϊκεντίαν ἀποστεῖλαι, οἳ τῆς συνόδου κατάρξαιντο, καὶ τοὺς πανταχόθεν ἐκεῖσε ἐρχομένους προεστῶτας τῶν ἐκκλησιῶν ὑποδέχοιντο, καὶ ἃ κρίνοιεν δεῖν ποιεῖν, ποιήσαιέν τε καὶ πραγματεύσαιντο, μέχρις ἂν ἡμεῖς ἐκ τῆς περὶ τῆς εἰρήνης ἀποδημίας καὶ πραγματείας ἐπανελθόντες ἐπιμελέστερον ἅπαντα κατευθύνειν ἔχοιμεν. τέως δὲ δὴ τῷ θεαρέστῳ ἐκείνῳ καὶ μάλιστα ἀναγκαίῳ ἔργῳ, τῇ τῆς εἰρήνης δηλονότι πραγματείᾳ, πάσῃ σπουδῇ καὶ ὁσίᾳ διαθέσει καὶ ἐπιμελείᾳ προσέχομεν τὸν νοῦν. μάρτυς ἡμῖν ὁ Θεὸς, οὗ τῇ φιλανθρωπίᾳ πεποιθότες, τοῖς κατὰ τὴν πορείαν κινδύνοις τὴν ζωὴν ἡμῶν ὑπεβάλλομεν. μάρτυς ἡμῶν ἡ συνείδησις ἡ μηδὲν κατάγε τοῦτο ἐ-

λέγξαι

λέξαι ἡμᾶς ἔχουσα τὸν καιρόν τινα καὶ ἀφορμὴν εἰρηνοποιΐας ἢ παραλελοιπέναι, ἢ μὴ ἐξεζητηκέναι. μάρτυρες οἱ βασιλεῖς αὐτοί, οἷς οὕτω συχνῶς καὶ συντεταμένως Νουγκίοις τε καὶ γράμμασι Ληγάτοις τε καὶ νουθεσίαις καὶ προτροπαῖς καὶ παντοίαις δεήσεσι παρακεκληκότες ἦμεν, ἵνα τὰς ἀπεχθείας ἀποθέμενοι, συμμαχίαν τε ποιησάμενοι, τοῖς εἰς μέγιστον ἤδη καὶ προσεχέστατον κίνδυνον προηγμένοις πράγμασι τῶν χριστιανῶν πάσῃ σπουδῇ κοινῇ βοηθήσαιεν. μαρτυροῦσιν ἡμῖν πρὸς τοῖς εἰρημένοις, αἱ ἀγρυπνίαι τε καὶ φροντίδες ἐκεῖναι, οἵ τε ἡμερινοὶ καὶ νυκτερινοὶ τῆς διανοίας ἡμῶν κάματοι καὶ αἱ βαρεῖαι μέριμναι, ἃς ἤδη ἐπὶ τῷ πράγματι τούτῳ παμπληθεῖς ἀνειλόμεθα, κἂν τοῦ πεποθημένου τέλους τὰ διαβούλια καὶ τὰ ἔργα ἡμῶν οὔπω ἐφίκοντο. οὕτω γάρ που μέλλει κυρίῳ τῷ θεῷ φίλον εἶναι. ὃν ὅμως οὐκ ἀπελπίζομεν εὐμενέστερόν ποτε τὰ ἐπιθυμήματα ἡμῶν ἐπιβλέψειν. ἡμεῖς γοῦν τὸ ἐφ' ἡμῖν οὐδὲν ὧν τῇ ποιμενικῇ ἡμῶν ἐπιστασίᾳ καθῆκεν ἐν τούτοις παραλίπομεν. εἰ δέ τινες εἰσὶν οἱ τὰς ὑπὲρ τῆς εἰρήνης ἡμῶν πράξεις ἐπὶ τὸ χεῖρον ἑρμηνεύοντες, λυπούμεθα μέν. ἐν τῇ λύπῃ μέντοι ἡμῶν εὐχαριστοῦμεν θεῷ παντοκράτορι τῷ πρὸς ὑπόδειγμα καὶ διδασκαλίαν τῆς ὑπομονῆς ἡμῶν τοὺς ἑαυτοῦ ἀποστόλους, ὑπὲρ τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν ἡμῶν εἰρήνη, ὕβρεως ἀξίους ἠθέλησε νομίζεσθαι. οὐ μὴν ἀλλ' ἐν τῇ κατὰ Νίκαιαν ἐκείνῃ ἡμῶν ἐντεύξει καὶ διαλέξει κἂν διὰ τὰς ἡμετέρας ἁμαρτίας, ἀληθινὴ καὶ διηνεκὴς εἰρήνη μεταξὺ τοῖν δυοῖν βασιλέοιν οὐκ ἠδυνήθη συντεθῆναι, ἀνοχαί γε ὅμως δεκαετεῖς ἐποιήθησαν. ὧν τῇ εὐκαιρίᾳ ἐλπίσαντες ἡμεῖς τήν τε ἱερὰν σύνοδον προσφορώτερον συντεθήσεσθαι, καὶ μετὰ ταῦτα τῇ τῆς συνόδου αὐθεντίᾳ γενέσθαι ἂν τὴν εἰρήνην, τοῖς βασιλεῦσιν ἐνεκείμεθα, αὐτούς τε εἰς τὴν σύνοδον παραγενέσθαι, καὶ τούς τε παρ' αὐτοῖς ἀρχιερεῖς συνεπάγεσθαι, καὶ τοὺς ἀπόντας με-

ταπέμ-

ταπέμπεσθαι. ὧν ὑπὲρ ἑκατέρου ἀπολογησαμένων αὐτῶν, ὅτι καὶ αὐτοῖς εἰς τὰς ἑαυτῶν ἐπαρχίας ἐπανιέναι τότε ἀνάγκη εἴη, καὶ τοὺς περὶ αὐτοὺς ἀρχιερεῖς ταῖς ὁδοιπορίαις τεταλαιπωρημένους καὶ τοῖς ἀναλώμασιν ἐξηντλημένους, ἀναλαμβάνειν δέοι, παρεκάλεσαν ἡμᾶς τὴν προειρημένην προθεσμίαν τῆς καταρχῆς τῆς συνόδου περαιτέρω παρεκτείνειν. οὗ πρὸς τὴν συγχώρησιν ὑποδυσκόλως ἡμῶν ἐχόντων, γράμματα ἡμῖν ἐν τούτῳ χρόνου παρὰ τῶν ἐν Οὐϊκεντίᾳ ἡμετέρων Λεγάτων ἧκε, μηνύοντα ὅτι ἐξηκούσης καὶ ἐκ πολλοῦ ἤδη παρῳχηκυίας τῆς εἰς ἣν εἴρητο καταρχθῆναι τὴν σύνοδον ἡμέρας, ἕνα μόλις ἢ δύο τῶν ἔξω Ἰταλίας ἐθνῶν ἀρχιερεῖς ἐκεῖσε καταντῆσαι. ἧς ἀγγελίας ἡμῖν προσενεχθείσης, συνορῶντες τε ἐν τούτῳ χρόνῳ μηδενὶ ἤδη τρόπῳ δύνασθαι γίνεσθαι τὴν σύνοδον, τοῖς βασιλεῦσιν ἐνέδομεν μέχρις ἐς τὸ ἅγιον πάσχα, φημὶ δὴ τὴν ἐπιοῦσαν τῆς κυριακῆς ἀναστάσεως ἡμέραν, ὑπερτεθῆναι τὸ τὴν σύνοδον συγκροτῆσαι. περὶ ἧς δὴ ἡμετέρας ὑποθήκης τε καὶ τῆς δεδογμένης ἀναβολῆς γράμμα ἡμέτερον ἐν Γενούῃ κατὰ τὸ ͵αφλή ἔτος τῆς ἐνσάρκου οἰκονομίας, τετάρτῃ ἱσταμένου Ἰουλίου μηνὸς ἐγένετό τε καὶ ἐξεδόθη. εἰς δὲ τὸ ταύτην τὴν ἀναβολὴν ποιήσασθαι εὐκατάφοροι μᾶλλον γεγόναμεν, παρὰ τῶν βασιλέων ἑκάτερον ἡμῖν ὑποσχέσθαι πρέσβεις ἐς Ῥώμην πρὸς ἡμᾶς ἀποστελεῖν, ὅπως τὰ εἰς τῆς εἰρήνης συμπλήρωσιν ἔτι λειπόμενα, καὶ ὅσα διὰ τὸ τοῦ χρόνου σύντομον ἐν Νικαίᾳ πραχθῆναι καιρὸν οὐκ ἔσχε, ταῦτα ἐν Ῥώμῃ παρ᾽ ἡμῖν ἐφ᾽ ἡσυχίας πραγματευθεῖεν. ᾧ δὴ καὶ λόγῳ ἀμφότεροι ᾐτήσαντο παρ᾽ ἡμῶν τὴν τῆς εἰρηνοποιΐας ταύτην πραγματείαν προλαβεῖν τὴν τῆς συνόδου συγκρότησιν. παρ᾽ καὶ τὴν σύνοδον αὐτὴν, τῆς εἰρήνης γινομένης, προσφορωτέραν πολλῷ καὶ σωτηριώδη μᾶλλον τοῖς κοινοῖς πράγμασι τῶν χριστιανῶν μέλλειν ἔσεσθαι. ἀεὶ γὰρ ἡ τῆς εἰρήνης ἐλπὶς ἡμῖν

ἐμβε-

ἐμβεβλημένη, τοῖς τῶν βασιλέων θελήμασι συγκατατίθεσθαι ἡμᾶς ὑπηγάγετο. ἣν ἐλπίδα σφόδρα ἐπέτεινεν ἡ μετὰ τὴν ἐκ Νικαίας ἡμῶν ἀναχώρησιν αὐτῶν τῶν βασιλέων φιλόφρων πρὸς ἀλλήλους ἔντευξις. ἣν ἡμεῖς σὺν ἡμετέρᾳ μεγάλῃ χαρᾷ πεπυσμένοι, ἐκρατύνθημεν ἐν τῇ ἀγαθῇ ἐλπίδι τοῦ τὰς εὐχὰς ἡμῶν τέλος δὴ παρὰ τοῦ θεοῦ ἐξακουσθῆναι. τοῦ δὴ τῆς εἰρήνης συμπεράσματος ἐφιέμενοι, καὶ πρὸς τοῦτο σπεύδοντες, ἐπειδὴ οὐ μόνον τοῖς προειρημένοις δυσὶ βασιλεῦσιν, ἀλλὰ δὴ καὶ τῷ προσφιλεστάτῳ ἡμῶν υἱῷ Φερδινάνδῳ τῷ ῥηγὶ τῶν Ῥωμαίων ἐδόκει τὴν τῆς συνόδου πραγματείαν, μὴ προλαβούσης τῆς εἰρήνης, οὐκ ἐν δέοντι ἂν ἀναιρεῖσθαι, πάντες τε παρ' ἡμῶν διὰ γραμμάτων τε καὶ πρέσβεων συντόνως ᾔτουν, ὅπως τὴν τῆς συνόδου συγκρότησιν ἔτι περαιτέρω παρατείναιμεν. ἐνέκειτο δὲ μάλιστα ὁ γαληνότατος Καῖσαρ ὑποσχέσθαι τοῖς τῆς καθολικῆς ἑνότητος ἀφεστηκόσιν ἀποφαίνων πράξειν παρ' ἡμῖν ὅπως ὁμονοίας τις τρόπος εὑρεθείη (τοῦτο δὲ πρὸ τῆς εἰς Γερμανίαν αὐτοῦ ἀφίξεως οὐκ ἂν ἁρμοδίως γενέσθαι) ἡμεῖς τῇ αὐτῇ τῆς εἰρήνης ἐλπίδι καὶ τῇ τῶν τηλικούτων βασιλέων βουλήσει ὑπαχθέντες, καὶ ταῦτα καθορῶντες μηδὲ εἰς ἣν εἴρητο τῆς ἀναστάσεως ἑορτὴν τοὺς λοιποὺς τῶν ἐκκλησιῶν προεστῶτας, ἐς Οὐϊκεντίαν συνεληλυθέναι, ἤδη τὸ τῆς παρεκτάσεως ὄνομα, ὅπερ οὕτω συχνῶς διακενῆς ἀπῃτεῖτο, ἐκκλίνοντες, ἐς ὃ ἂν ἡμῖν τε καὶ τῇ ἀποστολικῇ καθέδρᾳ εὐδοκήσειε, τὴν τῆς συνόδου συγκρότησιν ἀναβαλέσθαι προεκρίναμεν. ὃ δὴ καὶ πεποιήκαμεν. καὶ τῶν προειρημένων βασιλέων ἑκάστῳ τοῦτο διὰ γραμμάτων ἡμετέρων δεκάτῃ ἱσταμένου ἰουνίου τοῦ ,αφλθʹ. ἔτους ἐμηνύσαμεν, ὡς ἐν ἐκείνοις καταφανῶς ἔστι συνιδεῖν. Τῆς οὖν ὑπερθέσεως ταύτης ἀναγκαίως δι' ἡμῶν γινομένης, τέως τε ἐπιτηδειοτέρου καιροῦ καὶ συμπεράσματός τινος τῆς εἰρήνης ὑφ' ἡμῶν προσδοκωμένου, ὃ τῇ τε συνόδῳ ἀξίωμα καὶ συνέδρων πλῆθος, καὶ τῷ

κοινῷ

κοινὴν τὴν χριστιανῶν πρότερον σωτηρίαν ἔμελλε προσοίσειν, ἐν τούτῳ τὰ τῶν χριστιανῶν πράγματα ἐπὶ τὸ χεῖρον καθ' ἡμέραν κατωλίσθανον. τῶν μὲν Οὔγγρων μετὰ τὴν τοῦ Ρηγὸς αὐτῶν τελευτὴν Αγαρηνοῖς ἐπικαλουμένων, Φερδινάνδου τε τοῦ βασιλέως πόλεμον πρὸς αὐτοὺς ἐνστησαμένου, τοῦ δὲ Βρεττικοῦ ἔθνους κατά τι μέρος πρὸς ἀπόστασιν ἀπὸ Καίσαρος ὡρμημένου, ἐκεῖσε μὲν ἐπὶ τῷ τὴν ἀπόστασιν ταύτην καταστεῖλαι διὰ τῆς Κελτικῆς χώρας φιλίως καὶ σὺν πλείστῃ τοῦ χριστιανικωτάτου Ρηγὸς ἐκείνου φιλοφροσύνης τε καὶ ὁμονοίας ἐπιδείξει ἐπὶ Βέλγας παρελθών, κἀκεῖθεν μετὰ ταῦτα εἰς Γερμανίαν σταλείς, συλλόγοις τῶν κατὰ Γερμανίαν μεγιστάνων τε καὶ πολιτειῶν ἐπὶ τῷ τὴν ὑπ' αὐτοῦ προτεινομένην ὁμόνοιαν καταπράξασθαι, συγκροτεῖν ἤρξατο. ἀλλὰ γὰρ ἐπεὶ δὴ τῆς τε τῆς εἰρήνης ἐλπίδος ἤδη ἐπιλειπούσης, κἀκεῖνος ὁ τρόπος τοῦ τὴν ὁμόνοιαν ἐν τοῖς εἰρημένοις συλλόγοις πραγματεύεσθαι, μᾶλλον εἰς τὰ μείζονας διχοστασίας ἐγείρειν ἐπιτήδειος ἐφαίνετο, πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς θεραπείαν, τὴν οἰκουμενικὴν δηλονότι σύνοδον ἐπανελθεῖν προήχθημεν. καὶ τοῦτο δι' ἡμετέρων Ληγάτων ἐκ τοῦ συνεδρίου τῶν τῆς Ρωμαϊκῆς ἐκκλησίας Καρδινάλεων αὐτῷ τῷ Καίσαρι ὑπέστημεν. ὃ καὶ τέλος ἐν τῷ κατὰ Ρατισπῶνα μάλιστα συλλόγῳ πεποιήκαμεν. ἐκεῖ ὄντος ἀγαπητοῦ υἱοῦ ἡμετέρου Ληγάτου Γάσπαρος Κονταρήνου τῆς ἁγίας Πράξεδος Καρδινάλεως, ἀνδρὸς σοφίᾳ τε καὶ εἰλικρινείᾳ προέχοντος. ἐπεὶ γὰρ ὃ πρότερον, ὅπως μὴ συμβῇ, ηὐλαβούμεθα, γνώμη τῶν ἐκεῖ συνεληλυθότων παρ' ἡμῶν ἀπῃτεῖτο, ἵνα θέσεις τινὰς τῶν μὴ συγκοινωνούντων τῇ καθολικῇ ἐκκλησίᾳ ἀνεκτέας εἶναι ἀποφήνοιμεν, ἕως οὗ διὰ τῆς οἰκουμενικῆς συνόδου ἐξετασθεῖεν καὶ διορθωθεῖεν, τοῦτο δὲ συγχωρεῖν οὔτε ἡ χριστιανικὴ καὶ καθολικὴ ἀλήθεια, οὔτε τὸ τῆς ἀποστολικῆς καθέδρας ἀξίωμα ἡμῖν ἐφίει, ἐκ τοῦ προφανοῦς μᾶλλον, ἵνα ὡς τάχιστα ἡ σύνοδος γένοιτο, προ

τίθεσθαι ἐκηρύξαμεν. ἀμέλει οὐδέποτε γνώμην ἄλλην ἢ βούλησιν ἔχομεν πλὴν τὸ τὴν οἰκουμενικὴν σύνοδον ὅσον τάχος συναθροισθῆναι, ἐλπίζοντες ἐκ τούτου τήν τε εἰρήνην τῷ χριστωνύμῳ λαῷ καὶ τὴν τῆς χριστιανικῆς εὐσεβείας ὁλοκληρίαν ἀνακτηθῆναι ἄν. ὅπερ ὅμως σὺν εὐδοκίᾳ καὶ θελήματι τῶν χριστιανῶν βασιλέων γενέσθαι ἠβουλόμεθα. ἐ δὴ θέλημα προσδοκῶντες, καὶ καιρὸν ἀπόκρυφον, καιρὸν εὐδοκίας σου ὦ θεὸς παραφυλάττοντες, τέλος δὴ ποτὲ διαγνῶναι ἠναγκάσθημεν, πάντα καιρὸν εὐδοκοῦντα θεῷ εἶναι, καθ' ὃν περὶ ὁσίων καὶ τῇ τῶν χριστιανῶν εὐσεβείᾳ ἀνηκόντων πραγμάτων ἐνίστανται διαβούλια. διόπερ ὁρῶντες ἡμεῖς οὐκ ἄνευ μεγίστης λύπης, τὰ τῶν χριστιανῶν πράγματα καθ' ἡμέραν ἐπὶ τὸ χεῖρον καταλισθαίνειν, τῷ τὴν μὲν τῶν Οὔγγρων ὑπὸ τῶν Αγαρηνῶν κατειλῆφθαι, Γερμανοὺς δὲ κινδυνεύειν, τοὺς δὲ λοιποὺς πάντας δείματι καὶ λύπῃ κεκακῶσθαι, οὐδενὸς ἤδη τῶν βασιλέων συγκατάθεσιν προσδέχεσθαι, ἀλλὰ τῷ τοῦ παντοκράτορος θεοῦ μόνον θελήματι καὶ τῇ τοῦ κοινοῦ τῶν χριστιανῶν ὠφελείᾳ προσέχειν τὸν νοῦν διέγνωμεν. Τοιγάρτοι Οὐϊκεντίαν μὲν μηκέτι ἔχοντες, ἐπιθυμοῦντές τε τὰ μὲν τῇ καθόλου τῶν χριστιανῶν σωτηρίᾳ, τὰ δὲ ταῖς τῶν Γερμανῶν δυσχερείαις προβλέπειν, ἐν τῷ κοινὸν τόπον αἱρεῖσθαι, τοῦ τὴν σύνοδον ἐκεῖ συγκροτῆσαι, προτεθέντων τε τινῶν τόπων, τὴν Τριδεντίνων πόλιν ὑπ' αὐτῶν προκρίνεσθαι καταμαθόντες, κἂν ἐν τοῖς ἐπὶ τάδε μέρεσι τῆς Ιταλίας ἐπιτηδειότερον ἅπαντα ἂν πραγματευθῆναι ἐκρίνομεν, ὅμως ἐπὶ τὰς ἐκείνων αἰτήσεις τὸ ἡμέτερον θέλημα πατρικῇ διαθέσει κεκλίκαμεν. Καὶ οὕτω Τρίδεντον πόλιν ᾑρήμεθα, ἐν ᾗ τὴν οἰκουμενικὴν σύνοδον εἰς τὴν τοῦ ἐπιόντος Νοεμβρίου νουμηνίαν δέοι συνίστασθαι. ἐπιτήδειον ἐκεῖνον τὸν τόπον οἰόμενοι, καθ' ὃν ῥᾶστα μὲν ἐκ Γερμανίας καὶ τῶν ὁμορούντων αὐτῇ ἐθνῶν, ἐκ δὲ τῆς Κελτι-

κῆς

κῆς καὶ τῆς Ἰσπανίας καὶ τῶν ἀπωτέρω ἐπαρχιῶν οὐ πάνυ δυσχερῶς οἵτε ἐπίσκοποι καὶ οἱ λοιποὶ προεστῶτες τῶν ἐκκλησιῶν συνελθεῖν δύναιντο. ἡμέραν δὲ, εἰς ἣν εἴρηται ἡ καταρχὴ τῆς συνόδου ἐδοκιμάσαμεν, ἧς ἐντὸς καὶ χρόνου διάστημα τοῦ καταγγέλλειν τοῖς τῶν χριστιανῶν ἔθνεσι τὸ ἡμέτερον τοῦτο δόγμα, καὶ τοῖς προεστῶσι πᾶσι τῶν ἐκκλησιῶν τοῦ συνελθεῖν δυσχέρεια περιέχοιτο. τὸ δὲ μὴ ἐνιαύσιον χρόνον τῇ κατὰ τόπον μεταβολῇ τῆς συνόδου ἀφορίσαι, καθὼς ἔν τισι διατάξεσιν ἄλλοτε διώρισαι, ἐκεῖνο αἴτιον γέγονε, τὸ μὴ ἐθελῆσαι ἡμᾶς ἐπὶ μακρότερον παρατείνειν τὴν ἐλπίδα τοῦ τὰ τοσαύταις ζημίαις καὶ συμφοραῖς κακῶς διακείμενα τῶν χριστιανῶν πράγματα κατά τι θεραπεῦσαι. καίτοι γε εἰς οἵαν καιρῶν κατάστασιν κατηντήσαμεν, οὐ λέληθεν ἡμᾶς, τὰς δυσχερείας ἐπιγινώσκομεν, τίποτε ἐπὶ τοῖς ἡμετέροις βουλεύμασιν ἐλπιστέον, ἄδηλον εἶναι κατανοοῦμεν. ἀλλὰ γὰρ ἐπειδὴ γέγραπται, ἀποκάλυψον πρὸς κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ' αὐτὸν, καὶ αὐτὸς ποιήσει, τῇ τοῦ θεοῦ μᾶλλον φιλανθρωπίᾳ καὶ οἰκτιρμοῖς πιστεύειν ἢ τῇ ἡμετέρᾳ ἀσθενείᾳ ἀπιστεῖν διεγνώκαμεν. γίνεται γὰρ πολλάκις ἐν τοῖς τῶν ἀγαθῶν ἔργων κατάρχεσθαι, ὥστε ὃ τὰ τῶν ἀνθρώπων βουλεύματα οὐκ ἰσχύει, τοῦτο ἡ τοῦ θεοῦ δύναμις ἀποτελεῖ. τῇ οὖν τοῦ αὐτοῦ θεοῦ παντοκράτορος πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ τῶν μακαρίων αὐτοῦ ἀποστόλων Πέτρου καὶ Παύλου αὐθεντίᾳ, ᾗ καὶ ἡμεῖς ἐπὶ τῆς γῆς χρώμεθα πεποιθότες καὶ συνελθόντες, μεσολαβούσης παρὰ ταῦτα τῆς τῶν αἰδεσιμωτάτων ἡμετέρων ἀδελφῶν τῶν τῆς κατὰ Ῥώμην ἁγίας ἐκκλησίας Καρδινάλεων βουλῆς τε καὶ συναινέσεως, πᾶσαν συναπενσιῶνα διὰ τοῦ παρόντος ἡμετέρου γράμματος ἀναιροῦντες, τὴν ἱερὰν οἰκουμενικὴν σύνοδον ἐν τῇ τῶν Τριδεντίνων πόλει ἐπιτηδείῳ καὶ ἐλευθέρῳ καὶ πᾶσιν τοῖς ἔθνεσι εὐκαίρῳ τόπῳ, εἰς τὴν νουμηνίαν τοῦ ἐπιόντος Νοεμβρίου τοῦ παρόντος ἔτους τῆς τοῦ κυ-

ρίου ἐνσαρκώσεως ,αφμβʹ κατάρχθησομένην, καὶ διαχθησομέ-
νην, καὶ τῇ τοῦ θεοῦ συνεργείᾳ εἰς δόξαν αὐτοῦ, καὶ σωτηρίαν σύμ-
παντος τοῦ χριστωνύμου λαοῦ τελεσθησομένην, προλέγομεν,
καταγγέλλομεν, συγκαλοῦμεν, συνίσταμεν, καὶ ψηφιζόμεθα,
πάντας τούς τε ἁπανταχοῦ αἰδεσίμους ἀδελφοὺς ἡμῶν Πα-
τριάρχας Αρχιεπισκόπους καὶ Επισκόπους, ἔπι δὲ καὶ τοὺς ἀγα-
πητοὺς ἡμῶν υἱοὺς Αββάδεις, καὶ τοὺς λοιποὺς ἄλλους, ὅσοις κατὰ
νόμον ἢ ἐκ προνομίου ἐν ταῖς καθόλου συγκροτουμέναις συ-
νόδοις ἕδρας τε καὶ ψήφου μέτεστι προσκαλούμενοι, παρακα-
λοῦντες, παραγγέλλοντες, καὶ παρὰ ταῦτα ἐπί τε τῆς ὁρκω-
μοσίας, ἣν ἡμῖν καὶ τῇ ἁγίᾳ ταύτῃ καθέδρᾳ παρέχοντο καὶ τῇ
τῆς ἁγίας ὑποταγῆς δυνάμει καὶ ταῖς ὑπὸ τῶν νόμων ἢ ἐθῶν
κατὰ τῶν μὴ παραγινομένων εἰς τὰς οἰκουμενικὰς συνόδους
εἰωθυίαις προστίθεσθαι ποιναῖς ἐπιτάσσοντες καὶ συντόνως ἐν-
τελλόμενοι, ἵνα σφεῖς αὐτοὶ ἐὰν μὴ τυχὸν δικαίῳ ἐμποδίῳ
κατέχωνται, ὅπερ ὅμως δεήσει αὐτοὺς πιστοῦσθαι. ἢ κἂν διὰ νο-
μίμων ἐπιτρόπων καὶ πρέσβεων τῇ ἱερᾷ ταύτῃ συνόδῳ πάν-
τως μετεῖναι σπουδάσωσιν. τοὺς δέ γε προῤῥηθέντας, τόν
τε Ρωμαίων φημὶ αὐτοκράτορα καὶ τὸν χριστιανικώτατον
Ρῆγα, καὶ τοὺς λοιποὺς βασιλεῖς τε καὶ Δοῦκας καὶ μεγιστᾶ-
νας ὧν ἡ παρουσία, εἴπερ ποτέ, ἐν τῷ νῦν μάλιστα καιρῷ τῇ
ἁγιωτάτῃ πίστει τοῦ Χριστοῦ σωτήριος ἔσεσθαι μέλλει, ἀντι-
βολοῦντες καὶ ἱκετεύοντες διὰ σπλάγχνα ἐλέους τοῦ θεοῦ καὶ κυ-
ρίου ἡμῶν Ιησοῦ Χριστοῦ. οὗ τῆς πίστεως ἡ ἀλήθεια ἔνδοθέν
τε καὶ ἔκτοσθε βαρέως ἤδη προσπολεμεῖται, ἵνα ἐὰν τὰ κοι-
νὰ τῶν χριστιανῶν πράγματα σῶα εἶναι βούλονται, ἐὰν ὑπὸ
τῶν εἰς αὐτοὺς μεγίστων εὐεργεσιῶν ὑπόχρεως, καὶ ὀφειλέτας
τῷ κυρίῳ ἑαυτοὺς αἰσθάνονται, μὴ καταλίπωσι τὴν αὐτοῦ τοῦ
θεοῦ αἰτίαν καὶ πραγματείαν. ἀλλὰ σφεῖς αὐτοὶ εἰς τὴν τῆς
ἱερᾶς συνόδου συγκρότησιν ἔλθωσιν. τῷ τὴν αὐτῶν ἐκεῖ εὐ-
σέβειάν τε καὶ ἀρετὴν τῇ κοινῇ τε ὠφελείᾳ καὶ τῇ ἰδίᾳ αὐτῶν

τε καὶ τῶν λοιπῶν προσκαίρῳ τε καὶ αἰωνίῳ σωτηρίᾳ πλεῖστον ὅσον μέλλειν ἔσεσθαι προσφορεῖν. εἰ δὲ, ὅπερ ἀπευχόμεθα, αὐτοὺς παραγενέσθαι μὴ ἐγχωρῆται, κἂν γοῦν σεμνοῖς γε καὶ δεινοῖς πράγματι χρῆσθαι ἄνδρας ἐπιτρόποις ἑαυτῶν σὺν αὐθεντίᾳ καὶ ἐξουσίᾳ ἀποστελλάτωσαν. ὧν ἕκαστος τὸ τοῦ ἰδίου βασιλέως πρόσωπον σὺν ἀξιώματι καὶ φρονήσει παριστάνειν ἔχοι. ἐν πρώτοις δὲ ἐκείνου ἐπιμελείσθωσαν ὅπερ αὐτοῖς εὐχερέστατον ἐστὶν, ὅπως ἐκ τῆς ἑκάστου αὐτῶν ἐπικρατείας οἵτε ἐπίσκοποι καὶ προεστῶτες τῶν ἐκκλησιῶν χωρίς τινος διαδύσεως καὶ τριβῆς εἰς τὴν σύνοδον παραγένωνται. οὗ δὴ μάλιστα ὑπὸ τῶν κατὰ Γερμανίαν ἀρχιερέων τε καὶ μεγιστάνων ἡμᾶς τε καὶ τὸν θεὸν αὐτὸν ἐπιτυχεῖν ἐστι δίκαιον. ἵνα ἐπειδὴ ἐκείνων μάλιστα ἕνεκα καὶ πρὸς ἔφεσιν αὐτῶν ἡ σύνοδος κατήγγελται, καὶ ἐν τοιαύτῃ πόλει κατήγγελται, ἣν αὐτοὶ πάλαι ἐπόθουν, μὴ ὀκνήσωσι τῇ ἑαυτῶν αὐτὴν παρουσίᾳ συγκροτῆσαι καὶ κοσμῆσαι. ἵνα βέλτιον καὶ ἐπιτηδειότερον τὰ πρὸς τὴν τῆς χριστιανικῆς εὐσεβείας ὁλοκληρίαν, καὶ ἀλήθειαν, τὰ πρὸς τὴν τῶν χρηστῶν ἠθῶν ἀνακομιδὴν καὶ τὴν τῶν φαύλων ἐπανόρθωσιν, τὰ πρὸς τὴν τῶν χριστιανῶν βασιλέων τε καὶ ἐθνῶν εἰρήνην τε καὶ ὁμόνοιαν ἀνήκοντα, καὶ ἃ πρὸς τὸ ἀπώσασθαι τὰς τῶν βαρβάρων καὶ ἀσεβῶν προσβολὰς, αἷς ἐκεῖνοι σύμπασαν τὴν τῶν χριστιανῶν καταχεῖν μηχανῶνται, ἀναγκαῖα εἶναι ὑπείληπται· θεοῦ τὰ διαβούλια ἡμῶν προοδηγοῦντος, καὶ τὸ τῆς αὐτοῦ σοφίας καὶ ἀληθείας φῶς ταῖς ἡμετέραις διανοίαις προπέμποντος ἐν τῇ οἰκουμενικῇ συνόδῳ πραχθῆναι, καὶ τῆς πάντων ἀγάπης συμπνεούσης, βουλευθῆναι, πραγματευθῆναι, τελεσθῆναι, καὶ πρὸς τὸ ποθούμενον τέλος ἀχθῆναι ὡς ἄριστα καὶ τάχιστα δυνηθῶσιν. ὅπως δὲ τὰ ἡμέτερα ταυτὶ γράμματα καὶ τὰ ἐν αὐτοῖς περιεχόμενα εἰς τὴν ἁπάντων ὧν δεῖ γνῶσιν ἔλθωσι, τοῦ μήτινα ἀγνοίας πρόφασιν προΐ-


χεσθαι,

χθεῖς, καὶ ταῦτα μὴ πρὸς ἅπαντας, οἷς ὀνομαστὶ ἔδει καταγγελθῆναι, παρηχθεῖν ἀσφαλοῦς ὄντος, ὁρίζομεν καὶ προστάττομεν, ἵνα ἐν ταῖς βασιλικαῖς ἐκκλησίαις τῇ τε τοῦ κορυφαίου τῶν ἀποστόλων καὶ τῇ ἐν Λατεράνῳ, ὅταν αὐτόθι τὸ τοῦ λαοῦ πλῆθος ἐπὶ τῷ τῶν ἱερῶν λογίων ἀκροᾶσθαι συναθροίζεσθαι ἔωθεν, ἀναφανδὸν, λαμπρᾷ τῇ φωνῇ διά τινος τῶν τοῦ παλατίου κηρύκων ἢ δημοσίων νοταρίων ἀναγνωσθῶσι, καὶ ἀναγνωσθέντα ταῖς θύραις τῶν εἰρημένων ἐκκλησιῶν, ἔπι δὲ ταῖς τοῦ ἀποστολικοῦ καγκελλαρίου θύραις καὶ ἐν τῷ εἰθισμένῳ τόπῳ τῷ λεγομένῳ πεδίῳ τῆς Φλώρας προσκολληθῆναι. οὗ καὶ ἐπὶ χρόνον τινὰ εἰς τὸ πᾶσιν ἀναγνωσθῆναι τε, καὶ εἰς γνῶσιν ἐλθεῖν, ἐκκείσθωσαν. ἐν δὲ τῷ ἐκεῖθεν αὐτὰ ἀφαιρεθῆναι, τὰ ἴσα ἀντίγραφα ἐν ταυτῷ ἐναπομεινάτωσαν. διὰ γὰρ τῆς τοιαύτης ἀναγνώσεως, δημοσιεύσεως, προσκολλήσεως, πάντας ὁμοῦ, καὶ ἕνα ἕκαστον, οὓς τὰ ῥηθέντα ἡμῶν γράμματα περιλαμβάνει, μετὰ δίμηνον χρόνον ἀφ' ἡμέρας γραμμάτων δημοσιεύσεώς τε καὶ προσκολλήσεως ἔνοχον εἶναι ὁρίζομεν ὡς εἰ καὶ ἐνώπιον αὐτοῦ ἀνέγνωστό τε καὶ κατήγγελτο. τοῖς δέγε ἀντιγράφοις αὐτῶν ἐὰν χειρὶ δημοσίου νοταρίου τινὸς ὦσι γεγραμμένα, ἢ ὑπογεγραμμένα. καὶ ἐκκλησιαστικοῦ τινος ἐν ἀξιώματι καθεστῶτος προσώπου σφραγῖδι ἐσφραγισμένα, ἀνενδοίαστον πίστιν παρέχεσθαι ὁρίζομεν καὶ ψηφιζόμεθα. Μηδενὶ οὖν ἀνθρώπων ἐξέστω τὰ ἡμέτερα ταυτὶ γράμματα προλέξεως, καταγγελίας, συγκλήσεως, διατάξεως, δόγματος, κελεύσεως, ἐπιτάξεως, καὶ δεήσεως ἀκυρῶσαι ἢ αὐθάδει τόλμῃ αὐτοῖς ἐναντιοῦσθαι. ἐὰν δέ τις τοῦτο πράττειν ἐπιχειρήσῃ, ὀργῇ τῇ τοῦ παντοκράτορος θεοῦ καὶ τῶν μακαρίων αὐτοῦ ἀποστόλων Πέτρου καὶ Παύλου ἀγανακτήσει ἴσθω ὑποπεσούμενος. Ἐδόθη ἐν Ῥώμῃ ἐν τῷ παρὰ τὸν ἅγιον Πέτρον ἡμετέρῳ παλατίῳ, ἔτει τῷ τῆς κυρίου ἐνσαρκώσεως χιλιοστῷ πεντακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ, τῆς ἀρχιερατείας ἡμῶν ὀγδόῳ, τῇ εἰκοστῇ δευτέρᾳ τοῦ Μαΐου μηνός.

ΠΡΑΞΙΣ ΠΡΩΤΗ ΤΗΣ ΙΕΡΑΣ ΚΑΙ ΑΓΙΑΣ ΟΙΚΟΥ-μενικῆς ἐν Τριδέντῳ συνόδου ἐπὶ Παύλου γ΄. ἄκρου ἀρχιερέως,

γενομένη τῇ ιγ΄. ἡμέρᾳ Δεκεμβρίου μηνὸς, ἔτει τῆς τοῦ κυρίου ἐνανθρωπήσεως χιλιοστῷ πεντακοσιοστῷ τεσσαρακοστῷ πέμπτῳ.

Δόγμα περὶ καταρχῆς τῆς συνόδου.



ΑΡΕΣΚΕΙ ὑμῖν εἰς αἶνον καὶ δόξαν τῆς ἁγίας καὶ ἀδιαιρέτου τριάδος πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. πρὸς αὔξησιν καὶ ὕψωσιν πίστεώς τε καὶ χριστιανικῆς εὐσεβείας, πρὸς ἀνατροπὴν τῶν αἱρέσεων, πρὸς εἰρήνην καὶ ἕνωσιν τῆς ἐκκλησίας, πρὸς ἐπανόρθωσιν τοῦ τε κλήρου καὶ τοῦ λαοῦ τῶν χριστιανῶν, πρὸς καθαίρεσιν καὶ ἐξάλειψιν τῶν ἐχθρῶν τοῦ χριστιανισμοῦ, ψηφίσασθαί τε καὶ ἀποφήνασθαι, τὴν ἱερὰν ἐν τριδέντῳ καὶ οἰκουμενικὴν σύνοδον ἀπὸ τοῦ νῦν ἄρχεσθαι καὶ ἤδη ἦρχθαι; Ἀπεκρίθησαν, Ἀρέσκει.

Καταγγελία τῆς μελλούσης πράξεως.

Ἐπεὶ δὲ ἐγγίζει ἥτε τῆς τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ γεννήσεως ἐπίσημος ἑορτὴ, καὶ ἐπακολουθοῦσιν ἕτεραι, αἱ μὲν τοῦ φθίνοντος τούτου, αἱ δὲ τοῦ ἐνισταμένου ἔτους, ἀρέσκει ὑμῖν ὥστε τὴν μετὰ ταύτην πρῶτον ἐσομένην πρᾶξιν γενηθῆναι τῇ πέμπτῃ τῆς ἑβδομάδος τῇ μετὰ τὰ θεοφάνεια ἡμέρᾳ, ἥτις ἔσται ἑβδόμη ἱσταμένου Ιανουαρίου μηνὸς, ἔτει τῷ τοῦ κυρίου ἐνανθρωπήσεως χιλιοστῷ πεντακοσιοστῷ τεσσαρακοστῷ ἕκτῳ;

Ἀπεκρίθησαν, Ἀρέσκει.

ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ ΓΕΝΟΜΕΝΗ τῇ ζʹ. ἡμέρᾳ Ἰανουαρίου μηνὸς, ἔτει ͵αφμϛʹ.

Δόγμα περὶ διαγωγῆς τῶν εἰς τὴν σύνοδον συνεληλυθότων, καὶ περὶ ἄλλων τινῶν ἃ κατ᾽ αὐτὴν δεῖ τηρεῖν.

Ἡ ἱερὰ, καὶ ἁγία ἐν Τριδέντῳ σύνοδος ἐν πνεύματι ἁγίῳ νομίμως συνηθροισμένη, προεδρευόντων ἐν αὐτῇ τριῶν τῆς ἀποστολικῆς καθέδρας Λεγάτων, ἐπιγινώσκουσα σὺν τῷ μακαρίῳ ἀποστόλῳ Ἰακώβῳ, ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, τοῦ τοῖς αἰτουμένοις παρ᾽ αὐτοῦ σοφίαν πᾶσιν ἁπλῶς διδόντος, καὶ μὴ ὀνειδίζοντος. καὶ ἅμα γινώσκουσα ὅτι ἀρχὴ σοφίας φόβος κυρίου, διέγνω καὶ διώρισε πάντας ὁμοῦ καὶ καθ᾽ ἕνα τοὺς ἐν Τριδέντῳ τῇ πόλει συναχθέντας πιστοὺς παρακλητέους εἶναι, καθὰ καὶ παρακαλεῖ, ἵνα ἀπὸ τῶν πονηριῶν καὶ τῶν ἁμαρτιῶν τῶν μέχρι τοῦδε αὐτοῖς πεπλημμελημένων ἀποστραφέντες, τοῦ λοιποῦ ἐν φόβῳ κυρίου πορεύθωσι, καὶ τὰς τῆς σαρκὸς ἐπιθυμίας μὴ ἐπιτελῶσιν, ἀλλὰ ταῖς τε προσευχαῖς προσκαρτερῶσι, συχνάκις τε ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν, τῶν τῆς εὐχαριστίας μυστηρίων μεταλαμβάνωσι, συχνάζωσί τε εἰς τὰς ἐκκλησίας φοιτῶντες. καὶ ὅλως τὰς τοῦ κυρίου ἐντολὰς κατὰ τὸ δυνατὸν ἐκπληρῶσιν. ἔτι δὲ καθ᾽ ἑκάστην ἡμέραν ὑπὲρ εἰρήνης τῶν χριστιανῶν βασιλέων καὶ τῆς ἑνότητος τῆς ἐκκλησίας κατ᾽ ἰδίαν εὐχὰς ποιῶνται. τοὺς δὲ ἐπισκόπους καὶ τοὺς ἐν ἱερατικῷ τάγματι καθεστῶτας οὕστινας σὺν ἄλλοις τῶν εἰς τὴν οἰκουμενικὴν σύνοδον ἐν ταύτῃ τῇ πόλει συνεληλυθότων, ἵνα ἀδιαλείπτως ἐν ταῖς τοῦ θεοῦ δοξολογίαις ἐπιμένωσι, θυσίας,

ἐπαί-

ἐπαίνοις καὶ εὐχὰς προσφέρωσι. τοὐλάχιστόν τε καθ' ἑκάστην κυριακὴν, καθ' ἣν ὁ θεὸς ἐποίησε τὸ φῶς, καὶ ἐκ νεκρῶν ἀνέστη, καὶ τὸ ἅγιον πνεῦμα ἐπὶ τοὺς μαθητὰς ἐξέχεε, τὴν τῆς λειτουργίας ἱερουργίαν ἐπιτελεῖν ἐπιμελῶνται. ποιούμενοι (καθὼς τὸ αὐτὸ πνεῦμα διὰ τοῦ ἀποστόλου παραινεῖ) δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπέρ τε τοῦ ἁγιωτάτου δεσπότου ἡμῶν Πάπα, καὶ ὑπὲρ τοῦ αὐτοκράτορος, καὶ τῶν τε βασιλέων καὶ τῶν λοιπῶν τῶν ἐν ὑπεροχῇ ὄντων, καὶ ὑπὲρ πάντων ἀνθρώπων, ὅπως ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, τῆς εἰρήνης τε ἀπολαύωμεν, καὶ τῆς πίστεως προκοπὴν ἴδωμεν. πρὸς δὲ τούτοις παρακαλεῖ, ἵνα τοὐλάχιστον καθ' ἑκάστην παρασκευὴν εἰς μνήμην τοῦ Κυριακοῦ πάθους νηστεύωσι, καὶ τοῖς πτωχοῖς ἐλεημοσύνας χορηγῶσι. καὶ ἐν μὲν τῇ τῆς ἀρχιερατικῆς καθέδρας ἐκκλησίᾳ καθ' ἑκάστην πέμπτην ἡ εἰς τὸ ἅγιον πνεῦμα λειτουργία ἱερουργείσθω μετὰ τῶν λιτανειῶν καὶ τῶν λοιπῶν εὐχῶν τῶν εἰς τοῦτο διατεταγμένων. ἐν δὲ ταῖς λοιπαῖς ἐκκλησίαις τοὐλάχιστον αὗται λιτανεῖαι καὶ εὐχαὶ κατὰ τὰς προειρημένας ἡμέρας λεγέσθωσαν. καθ' ὃν δὲ καιρὸν ἡ ἱερουργία ἐπιτελεῖται, κοινολογίαι καὶ λέσχαι μὴ γινέσθωσαν. ἀλλὰ πάντες τῷ τε σώματι καὶ τῇ καρδίᾳ τῷ ἱερουργοῦντι παριστάσθωσαν. Ἐπεὶ δὲ δεῖ τοὺς ἐπισκόπους ἀνεπιλήπτους εἶναι, νηφαλίους τε καὶ σώφρονας, καὶ τοῦ ἰδίου οἴκου καλῶς προϊσταμένους, πρὸς τοῖς εἰρημένοις παραινεῖ ἡ ἁγία σύνοδος, ἵνα ἕκαστος κατὰ τὴν ἑαυτοῦ τράπεζαν ἐν πρώτοις μὲν νηφαλιότητα φυλάσση, καὶ σιτίων μετριότητα. ἔπειτα ἐπειδὴ κατὰ τὰς τραπέζας ἀργοὶ πολλάκις εἰώθασιν γίνεσθαι λόγοι, ἵνα κατὰ τὰς τῶν ἐπισκόπων, ἡ τῶν ἱερῶν γραφῶν ἀνάγνωσις συμπαραμιγνύηται. ἔτι τοὺς οἰκειακοὺς αὐτοῦ ἕκαστος μαθητευέτω καὶ διδασκέτω μὴ φιλονείκους εἶναι, μηδὲ παροίνους, μηδὲ ἀσελγεῖς, ἢ ἐπιθυμητὰς, ἢ ἐπηρμένους, ἢ βλασφήμους, ἢ φιληδόνους, ἀλλ' ἁπαξαπλῶς πᾶσαν πονη-

είαν φεύγοντας. τὰς δὲ ἀρετὰς ἀσπαζομένους, ἔν τε τῷ ἱματισμῷ καὶ τῇ περιβολῇ, καὶ πάσαις αὐτῶν ταῖς πράξεσιν εὐσχημοσύνην ἐνδεικνυμένους, καθὼς πρέπει τοὺς ὑπηρέτας τῶν τοῦ θεοῦ μυστηρίων. πρὸς δὲ τούτοις ἐπεὶ δὴ τῆς ἱερᾶς συνόδου ταύτης προηγουμένως ἐστὶ φροντὶς, καὶ σπουδὴ, καὶ σκοπὸς, ἵνα τοῦ τῶν αἱρέσεων σκότους ἀπελαθέντος, ὃ διὰ τοσούτων χρόνων κατεκάλυψε τὴν γῆν, τὸ τῆς καθολικῆς ἀληθείας ἀκραιφνές τε καὶ εἰλικρινὲς φῶς, χριστοῦ τοῦ ἀληθινοῦ φωτὸς εὐδοκοῦντος, πάλιν ἀναλάμψῃ, ἔτι δὲ καὶ τὰ ἐπανορθώσεως δεόμενα ἐπανορθωθῇ, προτρέπεται ἡ ἁγία σύνοδος, πάντας τοὺς ἐνταῦθα ἤδη τε συνηχθέντας, καὶ συνηχθεῖν μέλλοντας καθολικοὺς, μάλιστα δὲ τοὺς τῶν θείων γραφῶν εἴδησιν ἔχοντας, ἵνα σπουδαίᾳ καὶ ἀκριβεῖ μελέτῃ καθ᾽ ἑαυτοὺς ἕκαστος διαλογίσηται τίσι μάλιστα τρόποις ὁ τῆς συνόδου σκοπὸς ἐστὶ κατευθυνθῆναι, καὶ τοῦ ποθουμένου τέλους τυχεῖν δυνήσεται, ἵνα ὡς μάλιστα σπουδαίως, καὶ βεβουλευμένως τά τε κατακρίσεως δεόμενα κατακριθῶσι, καὶ τὰ ἀποδοχῆς ἄξια ἀποδεχθῶσιν. ὥστε κατὰ πᾶσαν τὴν οἰκουμένην πάντες ἐξ ἑνὸς στόματος καὶ τῇ αὐτῇ τῆς πίστεως ὁμολογίᾳ δοξάζωσι τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ. Εν δὲ τῷ λέγειν τὰς γνώμας οὐδεὶς ὀφειλέτω κατὰ τὸ τῆς ἐν Τωλέτῳ γενομένης συνόδου διάταγμα ἐν τόπῳ εὐλογίας τῶν τοῦ κυρίου ἱερέων συγκαθημένων, ἢ ἀμέτροις κραυγαῖς διαψοφεῖν, ἢ θορύβοις ἐνοχλεῖν, οὐδέ γε ψευδέσιν ἢ κεναῖς ἢ αὐθάδεσί τε καὶ ἀνενδότοις λογομαχίαις ἐρίζειν καὶ φιλονεικεῖν, ἀλλ᾽ ὅτι ἂν λέγῃ τίς, οὕτω πραεῖα λόγου προφορᾷ κεκεραννύσθω, ὥστε μήτε τοὺς ἀκούοντας ἐνοχλεῖσθαι, μήτε τῆς ὀρθῆς κρίσεως τὴν ἀκμὴν τῷ τῆς διανοίας ταράχῳ ἀμβλύνεσθαι. Προσέτι ἡ αὐτὴ ἁγία σύνοδος διέταξε καὶ διέγνωκεν, ἐὰν συμβῇ τινὰς ἐν τῷ αὐτοῖς προσήκοντι τόπῳ μὴ καθέζεσθαι, καὶ γνώμην εἴ γε καὶ διὰ τοῦ ῥήματος τοῦ ἀρέσκει λέ-

γειν, ἢ

γῆν, ἢ τοῖς συλλόγοις μετεῖναι ἢ ὁποιασοῦν ἄλλας πράξεις πράττειν, ἐφ' ὅσον ἂν χρόνον διαρκέσῃ ἡ σύνοδος, μηδενὶ διὰ τοῦτο πρόκριμα γίνεσθαι, μήτε ἑτέρῳ δικαιωμάτων καινὴν κτῆσιν προσγίνεσθαι.

Μετὰ ταῦτα κατηγγέλθη ἡ μέλλουσα πρᾶξις εἰς τὴν τετάρτην ἡμέραν τοῦ ἐπιόντος Φεβρουαρίου μηνὸς, πέμπτην οὖσαν τῆς ἑβδομάδος.

ΠΡΑΞΙΣ ΤΡΙΤΗ ΓΕΝΟΜΕΝΗ
Φεβρουαρίου μηνὸς ἡμέρα τετάρτη
ἱσαμένου ,αφμϛ'.

Δόγμα περὶ τοῦ συμβόλου τῆς πίστεως.

Εἰς τὸ ὄνομα τῆς ἁγίας καὶ ἀδιαιρέτου τριάδος πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. αὕτη ἡ ἱερὰ καὶ ἁγία οἰκουμενικὴ ἐν Τριδέντῳ σύνοδος ἐν πνεύματι ἁγίῳ νομίμως συνηθροισμένη, προεδρευόντων ἐν αὐτῇ τῶν αὐτῶν τριῶν τῆς ἀποστολικῆς καθέδρας Ληγάτων, τὸ μέγεθος τῶν προκειμένων πραγμάτων λογιζομένη, καὶ μάλιστα τῶν ἐν τοῖς δυσὶ κεφαλαίοις ἐκείνοις, τοῦ τε περὶ τῆς τῶν αἱρέσεων ἀνατροπῆς, καὶ τοῦ τῆς τῶν ἠθῶν ἐπανορθώσεως, ὧν ἕνεκα προηγουμένως συνηθροίσθη, ἐπιγινώσκουσά τε ἅμα τῷ ἁγίῳ ἀποστόλῳ Παύλῳ. ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. σὺν τῷ αὐτῷ ἀποστόλῳ ἕνα ἕκαστον καὶ ὁμοῦ πάντας ἐν πρώτοις προτρέπεται καὶ παρακαλεῖ, ἐνδυναμοῦσθαι ἐν κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ, ἐν πᾶσιν ἀναλαμβάνοντας τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσωνται πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, τήν τε περικεφαλαίαν τῆς ἐλπίδος τοῦ σωτηρίου δέξα-

θαι μετὰ τῆς μαχαίρας τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ. ἵνα τοίνυν ἡ εὐσεβὴς αὐτῆς αὕτη μέριμνα καὶ σπουδὴ ἀρχὴν καὶ πρόοδον τῇ τοῦ θεοῦ χάριτι λάβῃ, περὶ πάντων γινώσκει, καὶ διορίζεται, τὴν τῆς πίστεως ὁμολογίαν τῶν ἄλλων δεῖν προτάττειν, τοῖς τῶν πατέρων ὑποδείγμασι κἀν τούτῳ ἀκολουθήσασα, οἵτινες ἐν ταῖς ἱεραῖς συνόδοις ὡς θυρεὸν τοῦτο κατὰ πασῶν τῶν αἱρέσεων κατ' ἀρχὰς τῶν οἰκείων πράξεων προβάλλεσθαι εἰώθασιν, ᾧ δὴ καὶ μόνῳ ἐνίοτε τούς τε ἀπίστους εἰς τὴν πίστιν εἵλκυσαν, καὶ τοὺς αἱρετικοὺς κατεπολέμησαν, καὶ τοὺς πιστοὺς ἐστήριξαν. διὸ δὴ τὸ τῆς πίστεως σύμβολον ᾧπερ ἡ ἁγία Ῥωμαϊκὴ ἐκκλησία χρῆται, οἷον ἀρχὴν ἐν ᾗ πάντας ὅσοι τὴν τοῦ χριστοῦ πίστιν ἐπαγγέλλονται, ἐξ ἀνάγκης δεῖ συμφωνεῖν, ἑδραῖόν τε καὶ μόνον θεμέλιον οὗ πύλαι ᾅδου, οὐ μήποτε κατισχύσουσι, ταῖς αὐταῖς λέξεσι, ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις ἀναγινώσκεται, ᾠήθη δεῖν ἐκθετέον εἶναι. ἔχει δὲ οὕτως. Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα. ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς ἕνα κύριον ἰησοῦν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ. τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ. γεννηθέντα οὐ ποιηθέντα. ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα. σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου. καὶ παθόντα καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, καὶ ἀνελθόντα εἰς τὸν οὐρανὸν, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρὸς. καὶ πάλιν ἐλευσόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ κύριον, καὶ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς καὶ υἱοῦ ἐκπορευόμενον. τὸ σὺν πατρὶ

καὶ υἱῷ

καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον. τὸ λαλῆσαν διὰ τῶν προφητῶν. καὶ μίαν ἁγίαν καθολικὴν, καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Καταγγελία τῆς ἐπιούσης πράξεως.

Η αὐτὴ ἱερὰ, καὶ ἁγία οἰκουμενικὴ σύνοδος, ἡ ἐν Τριδέντῳ ἐν πνεύματι ἁγίῳ νομίμως συνηθροισμένη, προεδρευόντων ἐν αὐτῇ τῶν αὐτῶν τῆς ἀποστολικῆς καθέδρας Ληγάτων, πυνθανομένη πολλούς τινας ἀρχιερεῖς ἐκ διαφόρων μερῶν πρὸς τὴν δεῦρο ὁδοιπορείαν ἑτοίμως ἔχειν, τινὰς δὲ καὶ ἐν πορείᾳ ἤδη εἶναι, ἐννοοῦσά τε πάντα τὰ ὑπ' αὐτῆς διαταχθησόμενα, τοσούτῳ μείζονος παρὰ πᾶσιν ὑπολήψεως καὶ τιμῆς ἀξιωθήσεσθαι, ὅσῳ ἂν μείζονι καὶ πληρεστέρῳ πατέρων ἀθροίσματι καὶ παρουσίᾳ κεκυρωμένα καὶ κατησφαλισμένα ὦσιν, ἔγνω καὶ διώρισε τὴν μετὰ ταύτην ἐσομένην πρᾶξιν γίνεσθαι δεῖν ἡμέρᾳ πέμπτῃ, ἥτις ἔσται μετὰ τὴν κυριακὴν τὴν ἐπιοῦσαν, τὴν λεγομένην Λαιτάρε. ἐν τῷ μεταξὺ μέντοι τὰς ἀνακρίσεις καὶ ἐξετάσεις, ὧν ἂν τῇ συνόδῳ ἀνακριτέα καὶ ἐξεταστέα εἶναι δόξῃ, μὴ ὑπερτίθεσθαι.

ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ ΓΕΝΟΜΕΝΗ τῇ ὀγδόῃ ἡμέρᾳ τοῦ Ἀπριλλίου μηνὸς, ἔτει ,αφμϛ΄.

Δόγμα περὶ τῶν κανονικῶν βιβλίων τῆς θείας γραφῆς.

Η ἱερὰ, καὶ ἁγία οἰκουμενικὴ σύνοδος ἡ ἐν Τριδέντῳ ἐν πνεύματι ἁγίῳ νομίμως συνηθροισμένη, προεδρευόντων ἐν αὐτῇ τῶν αὐτῶν τῆς ἀποστολικῆς καθέδρας Ληγάτων, τοῦτο διὰ παντὸς πρὸ ὀφθαλμῶν τιθεμένη, ὅπως ἀναι-

ρεθείσης

ρεθείσης τῆς πλάνης, τὸ τοῦ εὐαγγελίου εἰλικρινὲς καὶ καθάριον ἐν τῇ ἐκκλησίᾳ συντηρηθῇ, ὃ προεπαγγελθὲν διὰ τῶν προφητῶν ἐν γραφαῖς ἁγίαις, ὁ κύριος ἡμῶν Ιησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τῷ ἰδίῳ αὐτοῦ στόματι πρῶτον ἐξέθετο. ἔπειτα διὰ τῶν ἑαυτοῦ ἀποστόλων οἷα δὴ πηγὴν τινα πάσης σωτηριώδους ἀληθείας, καὶ ἠθικῆς διδασκαλίας πάσῃ τῇ κτίσει κηρυχθῆναι ἐκέλευσε. καθορῶσα τε τὴν ἀλήθειαν καὶ διδασκαλίαν ταύτην ἔντε ἐγγράφοις βιβλίοις καὶ ἀγράφοις παραδόσεσι περιέχεσθαι, αἵ τινες ἐκ στόματος αὐτοῦ τοῦ χριστοῦ ὑπὸ τῶν ἀποστόλων παραδεχθεῖσαι, ἢ καὶ παρ' αὐτῶν τῶν ἀποστόλων ὑπαγορεύοντος τοῦ ἁγίου πνεύματος, οἱονεὶ διὰ χειρῶν παραδεδομέναι, μέχρι καὶ ἐς ἡμᾶς ἀφίκοντο. τοῖς τῶν ὀρθοδόξων πατέρων ὑποδείγμασιν κατακολουθήσασα, πάντα τάτε τῆς παλαιᾶς καὶ τῆς καινῆς διαθήκης βιβλία, ἅτε δὴ ἑκατέρας ἑνὸς ὄντος νομοθέτου τοῦ θεοῦ. ἔτι δὲ τὰς παραδόσεις αὐτὰς τάστε εἰς τὴν πίστιν καὶ τὰς εἰς τὰ ἤθη ἀνηκούσας, οἷα δὴ ἢ ὑπ' αὐτοῦ τοῦ χριστοῦ μέχρι καὶ ἐκ στόματος, ἢ ὑπὸ τοῦ ἁγίου πνεύματος ὑπαγορευθείσας καὶ διηνεκεῖ διαδοχῇ ἐν τῇ καθολικῇ ἐκκλησίᾳ συντηρηθείσας, ἴσῃ εὐσεβείας διαθέσει τε, καὶ εὐλαβείᾳ ὑποδέχεταί τε καὶ σέβεται.

Τῶν δὴ ἱερῶν βιβλίων τὸν κατάλογον τῷ δόγματι τούτῳ προσγράψαι ᾠήθη δεῖν, ἵνα μή τινι δισταγμὸς ἐγγένηται, τίνα ποτ' αὐτῶν ἡ σύνοδος αὕτη παραδέχεται. εἰσὶ δὲ τὰ ὑπογεγραμμένα. τῆς μὲν παλαιᾶς διαθήκης ἡ πεντάτευχος Μωσέως, ἤγουν, γένεσις, ἔξοδος, λευϊτικὸν, ἀριθμοὶ, δευτερονόμιον. ἔτι Ιησοῦς Ναυῆ, κριταὶ, Ρουθ, βασιλειῶν βιβλία τέσσαρα, παραλειπομένων δύο, Εσδρα τὸ πρῶτον καὶ τὸ δεύτερον, ὃ ἐπιγράφεται Νεεμίας. Τωβὶτ, Ιουδεὶθ, Εσθὴρ, Ιὼβ, τὸ τοῦ Δαβὶδ ψαλτήριον ἑκατὸν πεντήκοντα ψαλμῶν. παραβολαὶ, ἐκκλησιαστὴς, ᾆσμα ᾀσμάτων, σοφία Σολομῶντος, σοφία Σειρὰχ, Ησαΐας, Ιερεμίας σὺν τῷ Βαροὺχ, Ιεζε-

Ιεζεκιὴλ, Δανιὴλ, οἱ δώδεκα προφῆται, ἤγουν Ωσηὲ, Ιωὴλ, Αμὼς, Αβδίας, Ιωνᾶς, Μιχαίας, Ναοὺμ, Αβακοὺμ, Σοφονίας, Αγγαῖος, Ζαχαρίας, Μαλαχίας. ἔτι Μακκαβαίων βιβλία δύο, τὸ πρῶτον δηλονότι καὶ τὸ δεύτερον. τῆς δὲ καινῆς διαθήκης τὰ τέσσαρα εὐαγγέλια, ἤγουν τὸ κατὰ Ματθαῖον, τὸ κατὰ Μάρκον, τὸ κατὰ Λουκᾶν, τὸ κατὰ Ιωάννην. ἔτι αἱ πράξεις τῶν ἀποστόλων ὑπὸ Λουκᾶ τοῦ εὐαγγελιστοῦ συγγραφεῖσαι. Παύλου ἐπιστολαί. ἡ πρὸς Ρωμαίους, αἱ πρὸς Κορινθίους δύο, ἡ πρὸς Γαλάτας, ἡ πρὸς Εφεσίους, ἡ πρὸς Φιλιππησίους, ἡ πρὸς Κολασσαεῖς, αἱ πρὸς Θεσσαλονικεῖς δύο, αἱ πρὸς Τιμόθεον δύο, ἡ πρὸς Τίτον, ἡ πρὸς Φιλήμονα, καὶ ἡ πρὸς Εβραίους. ἔτι Πέτρου ἀποστόλου ἐπιστολαὶ δύο, Ιωάννου ἀποστόλου τρεῖς, Ιακώβου ἀποστόλου μία. Ιούδα ἀποστόλου μία. ἔτι Ιωάννου τοῦ ἀποστόλου ἀποκάλυψις. εἴ τις οὖν τὰ βιβλία ταῦτα τέλεια, καὶ ὁλόκληρα σὺν πᾶσι τοῖς αὐτῶν μέρεσι, καθὼς ἐν τῇ καθολικῇ ἐκκλησίᾳ εἰώθασιν ἀναγινώσκεσθαι, κἂν τῇ ἀρχαίᾳ καὶ κοινῇ ἐκδόσει ἀναγέγραπται, ἐν ἱερῶν καὶ κανονικῶν τάξει μὴ παραδέξηται, καὶ τὰς προειρημένας παραδόσεις εἰδὼς καὶ προαιρούμενος ἀθετήσῃ, ἀνάθεμα ἔστω. πᾶς τις οὖν καταμανθανέτω τίνι τάξει καὶ μεθόδῳ ἡ ἁγία σύνοδος μετὰ τὸ τὴν τῆς πίστεως ὁμολογίαν οἱονεί τινα θεμέλιον καταβαλέσθαι, μέλλει προβήσεσθαι, καὶ τίσι μάλιστα μαρτυρίαις, καὶ ἐπικουρίαις πρός τε τὸ τὰ δόγματα συνιστάνειν, καὶ τὰ ἐν τῇ ἐκκλησίᾳ ἤθη ἐπανορθοῦν κεχρήσεται.

Δόγμα περὶ ἐκδόσεως καὶ χρήσεως τῶν ἱερῶν βιβλίων.

Προσέτι ἡ αὐτὴ ἁγία σύνοδος, ἐννοοῦσα οὐ μικρὰν ὠφέλειαν προσγενέσθαι ἂν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, ἐὰν ἐκ πασῶν τῶν περιφερομένων ἐκδόσεων τῶν ἱερῶν βιβλίων φανερὸν γένηται, τίνα ποτὲ κυρίαν καὶ αὐθεντικὴν εἶναι νομιστέον, ὁρίζει καὶ

ζει καὶ ἀποφαίνεται, τὴν ἀρχαίαν ἐκείνην καὶ κοινὴν ἔκδοσιν τὴν διὰ τοσούτων χρόνων διηνεκεῖ χρήσει ἐν τῇ ἐκκλησίᾳ δεδοκιμασμένην, ταύτην ἔντε ταῖς δημοσίαις ἀναγνώσεσι, διαλέξεσί τε, καὶ τοῖς τοῦ λόγου κηρύγμασι, ἔτι δὲ καὶ ἐξηγήσεσι τῶν γραφῶν αὐθεντικὴν νομίζεσθαι δεῖν, μηδένα τε αὐτὴν οἱωδήποτε προσχήματι ἀθετῆσαί ποτε τολμᾶν, καὶ ἀπαυθαδίζεσθαι. Πρὸς δὲ τούτοις, πρὸς τὸ ἐπισχεῖν, καὶ καθεῖρξαι τὰς προπετεῖς τῶν ἀνθρώπων φύσεις, ὁρίζει μηδένα ἐν τοῖς κατὰ τὴν πίστιν καὶ τοῖς ἐς οἰκοδομὴν τῆς χριστιανικῆς διδασκαλίας ἀνήκουσιν ἤθεσι, τῇ ἰδίᾳ συνέσει πεποιθότα, τὰς ἱερὰς γραφὰς πρὸς τὰ ἑαυτοῦ νοήματα διαστρέφειν, ἄλλως παρ' ἃ νενόηκέ τε καὶ νοεῖ ἡ ἁγία, καὶ καθολικὴ μήτηρ ἐκκλησία, ἧς ἐστι τὸ κρίνειν τίς ὁ τῶν θείων γραφῶν γνήσιος νοῦς, καὶ πῶς ἐξηγητέον αὐτὰς, ἢ καὶ παρὰ τὴν ὁμόφρονα τῶν ἁγίων πατέρων συμφώνησιν αὐτὰς τὰς γραφὰς ἐξηγεῖσθαι τολμᾶν, κἂν αἱ τοιούτων ἀνθρώπων παρεξηγήσεις, εἰς οὐδένα ποτὲ χρόνον ἐκδοθήσεσθαι μέλλοιεν. Τοὺς δὲ τούτοις ἀντιβαίνοντας, οἱ κατὰ τόπους ἀρχιερεῖς ἐμφανιζέτωσαν, καὶ ταῖς κατὰ τοὺς νόμους ἐπικειμέναις ποιναῖς κολαζέτωσαν. ἀλλὰ δὴ καὶ τοῖς τυπογράφοις ἐν τῷ μέρει τούτῳ μέτρον, ὡς καθήκει, ἐπιθεῖναι βουλομένη, οἵ τινες οὐδενὶ ἤδη μέτρῳ ἢ κανόνι πᾶν ὁποιοῦν αὐτοῖς ἐξεῖναι νομίζοντες, χωρὶς ἐξουσίας καὶ ἐπισκοπῆς τῶν ἐκκλησιαστικῶν ἐπιστατῶν, αὐτά τε τὰ τῆς θείας γραφῆς βιβλία, καὶ εἰς αὐτὰ παρασημειώσεις καὶ ἐξηγήσεις ὁποιωνδήτινων ἀδιακρίτως, πολλάκις μὲν τὸ τῶν τύπων ἐργαστήριον παρασιωπῶντες, πολλάκις δὲ καὶ ψευδόμενοι (καὶ ὅπερ ἔτι βαρύτερόν ἐστι) χωρὶς ὀνόματος τοῦ συγγεγραφότος, τὰ τοιαῦτα ἐκτυποῦσι, τινὲς δὲ καὶ ἄλλοθί που τυπωθέντα τοιαῦτα βιβλία αὐθαδῶς ὤνια προτιθέασι, γινώσκει, καὶ διορίζεται τὸ ἀπὸ τοῦδε τὰς θείας γραφὰς, καὶ μάλιστα τὴν παλαιὰν, καὶ κοινὴν ἔκδοσιν, ὡς ἔνι μάλιστα διορθωμένως

θαμένως ἐκτυποῦσθαι δεῖν. μηδενί τε ἐξεῖναι δι' ἑαυτοῦ, ἢ δι' ἄλλου, ὁποιαδήτινα περὶ τῶν ἱερῶν λογίων διαλαμβάνοντα βιβλία χωρὶς ὀνόματος τοῦ συγγράψαντος ἐκτυποῦν, ἀλλ' οὐδὲ εἰς τοὐπιὸν πωλεῖν, ἢ παρ' ἑαυτῷ ἔχειν, μὴ πρότερον ἐξετασθέντα, καὶ δοκιμασθέντα ὑπὸ τοῦ κατὰ τόπον ἀρχιερέως, ἐπὶ ἀναθέματι, καὶ χρηματικῇ ζημίᾳ τῇ ἐν τῷ κανόνι τῆς τὸ τελευταῖον ἐν Λατεράνῳ γινομένης συνόδου ἐπιτεθείσῃ. ἐὰν δὲ τῶν ὑπὸ κανόνα τεταγμένων τις ὢν τυγχάνῃ, οὗτος πρὸς τῷ ῥηθέντι ἐξετασμῷ καὶ δοκιμασίᾳ τοῦ ἀρχιερέως, προσέτι καὶ παρὰ τοῦ οἰκείου προεστῶτος, κατὰ τὸν τύπον τῶν παρ' ἑκάστοις κειμένων διατάξεων τὰ τοιαῦτα βιβλία ἀνακρίναντος, ἐξουσίαν λαμβάνειν ὀφειλέτω. οἱ δὲ πρὸ τοῦ ἐξετασθῆναι καὶ δοκιμασθῆναι τὰ ἀντίγραφα τῶν τοιούτων συγγραμμάτων μεταδιδόντες, ἢ δημοσιεύοντες, ταῖς αὐταῖς ποιναῖς ἔνοχοι ἔστωσαν, αἷσπερ οἱ τὰ τοιαῦτα ἐκτυποῦντες. ἔτι οἱ τὰ τοιαῦτα βιβλία κεκτημένοι, ἢ ἀναγινώσκοντες, ἐὰν μὴ τοὺς συγγράψαντας ἐμφανίσωσιν, αὐτοὶ συγγραφεῖς εἶναι νομιζέσθωσαν. αἱ δέ γε τῶν τοιούτων βιβλίων γινόμεναι δοκιμασίαι, ἐγγράφως διδόσθωσαν. καὶ μέτωπόν τε ἑκάστου βιβλίου ἐάν τε διὰ χειρὸς γεγραμμένον, ἐάν τε τετυπωμένον ᾖ, αὐθεντικῶς ἔχουσαι συνορᾶσθωσαν. τὸ δὲ ὅλον, ἤγουν ἥ τε δοκιμὴ καὶ ἡ ἐξέτασις, δωρεὰν γινέσθω. ὥστε τά τε δόκιμα ἀποδοχῆς ἀξιοῦσθαι, τὰ δὲ ἀδόκιμα, ἀποδοκιμάζεσθαι.

Μετὰ δὲ ταῦτα τὴν αὐθάδειαν ἐκείνην ἐπισχεῖν βουλομένη, δι' ἣν εἰς ἕκαστα τῶν βεβήλων παρατρέπουσι καὶ διαστρέφουσι τινὲς τά τε ῥητὰ καὶ τὰς γνώμας τῆς θείας γραφῆς, εἰς εὐτράπελα τινὰ δηλονότι, καὶ μυθώδη, καὶ μάταια, ἔτι δὲ κολακείας, καὶ διασυρμοὺς, καὶ δεισιδαιμονικὰς περιεργίας, ἀσεβεῖς τε καὶ διαβολικὰς ἐπῳδὰς, μαντείας τε καὶ κλήρους, ἔτι δὲ τὰ λεγόμενα φάμωσα βιβλία, ἐντέλλεται καὶ παραγγέλλει, πρὸς τὸ τὴν τοιαύτην δυσσέβειαν καὶ καταφρόνησιν ἀνε-

λεῖν, μηδένα τοῦ λοιποῦ τοῖς τῆς θείας γραφῆς ῥήμασιν, ὅπως δήποτε πρὸς ταῦτα καὶ τὰ τοιαῦτα καταχρῆσθαι τολμῆσαί ποτε. ὥστε πάντας τοὺς ταῦτα ποιοῦντας ὡς λυμεῶνας τε, καὶ φθορεῖς τοῦ θείου λόγου, ταῖς κατὰ τοὺς νόμους καὶ αὐτεξούσιον γνώμην ζημίαις παρὰ τῶν ἐπισκόπων κολάζεσθαι.

Καταγγελία τῆς ἐπιούσης πράξεως.

Προσέτι ἡ ἱερὰ, καὶ ἁγία αὕτη σύνοδος ἔγνω καὶ διώρισε τὴν μετὰ ταύτην ἐσομένην πρᾶξιν γίνεσθαι δεῖν τῇ πέμπτῃ τῇ μετὰ τὴν ἐπιοῦσαν σεβασμιωτάτην ἑορτὴν τῆς πεντηκοστῆς.

ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ ΓΕΝΟΜΕΝΗ τῇ ἑπτακαιδεκάτῃ ἡμέρᾳ Ἰουνίου μηνὸς ͵αφμϛʹ.

Δόγμα περὶ τῆς προγονικῆς ἁμαρτίας.

Ὅπως ἡ καθολικὴ ἡμετέρα πίστις, ἧς χωρὶς ἀδύνατον εὐαρεστῆσαι τῷ θεῷ, πᾶσαν πλάνην ἀποκαθηραμένη, ἐν τῇ ἑαυτῆς εἰλικρινείᾳ ἀκέραιος καὶ ἀδιάφθορος διαμένη, καὶ μὴ ὁ χριστώνυμος λαὸς παντὶ διδασκαλίας ἀνέμῳ περιφέρηται, ἐπειδὴ ὁ ἀρχαῖος ἐκεῖνος ὄφις, ὁ ἐνδελεχὴς ἐχθρὸς τοῦ ἀνθρωπίνου γένους, ἐν πλείστοις ἄλλοις κακοῖς, οἷς ἡ τοῦ θεοῦ ἐκκλησία ἐν τοῖς καθ' ἡμᾶς τούτοις θορυβεῖται χρόνοις, ἔτι καὶ περὶ τῆς προγονικῆς ἁμαρτίας, καὶ τοῦ ταύτης ἀντιφαρμάκου, οὐ τὰς καινὰς μόνον, ἀλλὰ καὶ τὰς ἀρχαίας ἀνήγειρε διχοστασίας, ἡ ἱερὰ καὶ ἁγία οἰκουμενικὴ ἐν Τριδέντῳ σύνοδος, ἐν πνεύματι ἁγίῳ νομίμως συναθροισμένη, προεδρευόντων ἐν αὐτῇ τῶν αὐτῶν τριῶν τῆς ἀποστολικῆς καθέδρας Λεγάτων, ἤδη τοὺς πλανωμένους ἀνακαλέσασθαι, καὶ τοὺς σαλευομένους στηρίξαι ἐγχειρεῖν βουλομέ-

λομέ-

λαμβάνη, ταῖς τῶν θείων γραφῶν, ἔτι δὲ ἁγίων πατέρων, καὶ μάλιστα εὐδοκιμουσῶν συνόδων μαρτυρίαις, καὶ τῇ τῆς ἐκκλησίας αὐτῆς γνώμῃ τε καὶ συμφωνίᾳ κατακολουθήσασα, ταῦτα περὶ τῆς προγονικῆς ἁμαρτίας καθίστησι, καὶ ὁμολογεῖ, καὶ ἀποφαίνεται.

Εἴτις μὴ ὁμολογεῖ τὸν πρῶτον ἄνθρωπον Ἀδὰμ ἅμα τῷ τὴν ἐντολὴν τοῦ θεοῦ παραβῆναι ἐν τῷ παραδείσῳ, παραχρῆμα τὸν ἁγιασμὸν καὶ τὴν δικαιοσύνην ἐν ᾗ πρότερον καθέστατο ἀπολέσαι, καὶ διὰ τοῦ τῆς παραβάσεως ταύτης πταίσματός τε καὶ προσκόμματος, εἰς τὴν τοῦ θεοῦ ὀργήν τε καὶ ἀγανάκτησιν ἐμπεσεῖν, καὶ διὰ τοῦτο εἰς τὸν ὑπὸ τοῦ θεοῦ προαπειληθέντα αὐτῷ θάνατον, καὶ σὺν τῷ θανάτῳ εἰς τὴν αἰχμαλωσίαν τὴν ὑπὸ τῇ ἐξουσίᾳ τοῦ μετὰ ταῦτα θανάτου τὸ κράτος ἐσχηκότος διαβόλου, ὅλον τε τὸν Ἀδὰμ διὰ τοῦ τῆς παραβάσεως ταύτης πταίσματός τε καὶ προσκόμματος, τότε σῶμα καὶ τὴν ψυχὴν ἐπὶ τὸ χεῖρον τραπῆναι, ἀνάθεμα ἔστω.

Εἴτις τὴν παράβασιν τοῦ Ἀδὰμ, αὐτὸν μόνον καὶ μὴ τὸ ἐξ αὐτοῦ γένος βλάψαι διαβεβαιοῦται, τόν τε ἁγιασμὸν καὶ τὴν δικαιοσύνην, ἣν παρὰ τοῦ θεοῦ λαβὼν ὕστερον ἀπώλεσεν, ἑαυτῷ μόνῳ μηκέτι δὲ καὶ ἡμῖν ἀπολέσαι, ἢ μεμολυσμένον ἐκεῖνον τῷ τῆς παρακοῆς ἁμαρτήματι τὸν θάνατον μόνον καὶ τὰς τοῦ σώματος κολάσεις εἰς ἅπαν τὸ ἀνθρώπινον γένος, μηκέτι δὲ καὶ τὴν ἁμαρτίαν ἥτις ἐστὶ ψυχῆς θάνατος μεταχέαι, ἀνάθεμα ἔστω. ὡς ἀντιλέγων τῷ ἀποστόλῳ λέγοντι, δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθε, ἐφ' ᾧ πάντες ἥμαρτον.

Εἴτις τοῦ Ἀδὰμ τὸ ἁμάρτημα τοῦτο, (ὃ προκατάρξει μὲν, ἓν ἐστι, καταγωγῇ δὲ τοῦ γένους, ἀλλ' οὐ μιμήσει εἰς πάντας μεταχυθὲν, ἴδιον ἔνεστιν ἑκάστῳ) ἢ ἀνθρωπίνης φύσεως δυνά-

μει, ἢ ἄλλῳ τινὶ ἀντιφαρμάκῳ ἀφεθῆ διαβεβαιοῦται, πλὴν διὰ τὴν τοῦ ἑνὸς μεσίτου κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ ἀξίαν, ὃς ἡμᾶς κατήλλαξε τῷ θεῷ ἐν τῷ ἑαυτοῦ αἵματι, καὶ ἐγενήθη ἡμῖν δικαιοσύνη τε, καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. ἢ ἀρνεῖται αὐτὴν τὴν τοῦ Ιησοῦ Χριστοῦ ἀξίαν διὰ τοῦ μυστηρίου τοῦ βαπτίσματος κατὰ τὸν τύπον τῆς ἐκκλησίας νομίμως χορηγηθέντος, μὴ μόνον τοῖς ἐν ἡλικίᾳ, ἀλλὰ καὶ τοῖς νηπίοις προσάπτεσθαι, ἀνάθεμα ἔστω· οὐδὲ γὰρ ὄνομα ἐστὶν ἕτερον ὑπ᾽ οὐρανῷ δεδομένον τοῖς ἀνθρώποις ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς, ὅθεν εἴρηται τό, ἰδοὺ ὁ ἀμνὸς τοῦ θεοῦ, ἰδοὺ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. καὶ τό, ὅσοι ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.

Εἴ τις τὰ μικρὰ καὶ νεογενῆ τὰ ἐκ τῶν γαστέρων τῶν μητέρων οὔ φησι βαπτιστέα εἶναι, κἂν ἐκ βεβαπτισμένων γονέων ὦσι γεγενημένα, ἢ φησὶν εἰς ἄφεσιν μὲν ἁμαρτιῶν αὐτὰ βαπτίζεσθαι, μηδὲν δὲ ἐκ τῆς τοῦ Αδὰμ ἕλκειν προγονικῆς ἁμαρτίας τὸ ὀφεῖλον καθαρθῆναι τῷ λουτρῷ τῆς παλιγγενεσίας πρὸς τὸ τῆς αἰωνίου ζωῆς αὐτὰ τυχεῖν, ὅθεν ἀκόλουθον γίνεται ἐν αὐτοῖς τὸν τύπον τοῦ βαπτίσματος εἰς ἄφεσιν ἁμαρτιῶν οὐκ ἀληθινόν, ἀλλὰ πλαστὸν ἀκούεσθαι, ἀνάθεμα ἔστω. ἐπειδὴ οὐκ ἄλλως δεῖ νοῆσαι τὸ εἰρημένον τῷ ἀποστόλῳ, ὅτι δι᾽ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ᾽ ᾧ πάντες ἥμαρτον, εἰ μὴ ὃν τρόπον ἡ καθολικὴ ἐκκλησία ἡ πανταχοῦ διακεχυμένη τε, καὶ ἡπλωμένη ἀεὶ ἐνόησε. διὰ γὰρ τὸν κανόνα τοῦτον τῆς πίστεως ἐκ παραδόσεως τῶν ἀποστόλων, καὶ τὰ μικρὰ τὰ μηδέν πω ἁμάρτημα εἰς ἑαυτοὺς ἀποτελεῖν δυνάμενα, διὰ τοῦτο εἰς ἄφεσιν ἁμαρτιῶν ἀληθινῶς βαπτίζονται, ἵνα διὰ τῆς ἀναγεννήσεως καθαρθῇ ἐν αὐτοῖς ὅπερ εἵλκυσαν τῇ γεννήσει. ἐὰν γὰρ μὴ γεννηθῇ τις ἐξ ὕδατος, καὶ πνεύματος ἁγίου, οὐ

δύνα-

δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.

Εἴτις διὰ τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χάριτος τῆς ἐν τῷ βαπτίσματι χορηγουμένης ἀρνεῖται τὴν ἐκ τῆς προγονικῆς ἁμαρτίας ἐνοχὴν μὴ ἀφίεσθαι, ἢ φησὶ μὴ ὅλον ἀναιρεῖσθαι τὸ τὸν ἀληθινὸν καὶ οἰκεῖον τῆς ἁμαρτίας λόγον ἔχον, ἀλλὰ μόνον ἀποξύεσθαι ἢ μὴ ἐλλογεῖσθαι, ἀνάθεμα ἔστω. ἐν γὰρ τοῖς ἀναγεννηθεῖσιν οὐδὲν μισεῖ ὁ θεός. οὐδὲν γὰρ κατάκριμα ἐπὶ τοῖς ἀληθῶς τῷ Χριστῷ συνταφεῖσι διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον. οἵτινες οὐ κατὰ σάρκα περιπατοῦντες, ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον ἀπεκδυσάμενοι καὶ τὸν καινὸν τὸν κατὰ θεὸν πλασθέντα ἐνδυσάμενοι, ἄκακοι, ἄσπιλοι, καθαροί, ἀθῶοι, καὶ θεῷ ἀγαπητοὶ γεγένηνται. κληρονόμοι μὲν θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ. ὥστε οὐδὲν ὅλως τῆς εἰσόδου τῶν οὐρανῶν οὐ μὴ καθυστερήσῃ αὐτοῖς. ἐναπομένειν δέ γε ἐν τοῖς βαπτισθεῖσι τὴν ἐπιθυμίαν, ἢ ζώπυρον, ἡ ἁγία σύνοδος αὕτη καὶ φρονεῖ, καὶ ὁμολογεῖ. ἥτις εἰς ἀγῶνα καὶ ἄθλησιν ἐγκαταλειφθεῖσα, τοὺς μὴ συγκατατιθεμένους, ἀλλὰ διὰ τῆς Ἰησοῦ Χριστοῦ χάριτος ἀνδρείως ἀνθισταμένους βλάπτειν οὐ δύναται. μᾶλλον μὲν οὖν ἐάν τις νομίμως ἀθλήσῃ, στεφανωθήσεται. ταύτην οὖν τὴν ἐπιθυμίαν, ἣν ὁ ἀπόστολος ἐνίοτε ἁμαρτίαν ὀνομάζει, ἡ ἁγία σύνοδος ἀποφαίνεται, μηδέποτε τὴν καθολικὴν ἐκκλησίαν φρονῆσαι, ὥστε ἁμαρτίαν προσαγορεύεσθαι τῷ ἀληθῶς καὶ κυρίως ἐν τοῖς ἀναγεννηθεῖσιν ἁμαρτίαν εἶναι, ἀλλὰ τῷ ἐξ ἁμαρτίας εἶναι, καὶ πρὸς ἁμαρτίαν κλίνειν. εἰ δέ τις τἀναντία τούτων φρονεῖ, ἀνάθεμα ἔστω.

Διορίζεταί γε μὴν ἡ αὐτὴ ἁγία σύνοδος, μὴ ἐν σκοπῷ ἔχειν τὸ τὴν μακαρίαν καὶ ἄχραντον παρθένον Μαρίαν τὴν θεοτόκον, τῷ περὶ τῆς προγονικῆς ἁμαρτίας τούτῳ δόγματι συμπεριλαβεῖν, ἀλλὰ τὰς Ξύστου τοῦ τῆς μακαρίας μνήμης Πάπα τετάρτου διατάξεις ἃς νῦν ἀνακαινίζει, ἐπὶ τοῖς

ἐν αὐ-

ἐν αὐταῖς περιεχομένοις ἐπιτιμίοις, τηρητέας εἶναι γινώσκει.

Καταγγελία τῆς ἐπιούσης πράξεως.

Προσέτι ἡ ἱερὰ καὶ ἁγία σύνοδος αὕτη καθίστησι καὶ διορίζεται τὴν πρώτην ἐπιοῦσαν πρᾶξιν γίνεσθαι δεῖν τῇ πέμπτῃ τῇ μετὰ τὴν ἑορτὴν τοῦ μακαρίου ἀποστόλου Ιακώβου.

Υπερετέθη ἔπειτα ἡ πρᾶξις μέχρι τῆς ιγ'. Ιανουαρίου, τοῦ ἔτους ,αφμζ'.

ΠΡΑΞΙΣ ΕΚΤΗ ΓΕΝΟΜΕΝΗ ἡμέρᾳ τρισκαιδεκάτῃ Ιανουαρίου μηνὸς, ἔτει ,αφμζ'.

Δόγμα περὶ δικαιώσεως.

ΠΡΟΟΙΜΙΟΝ.

Επειδὴ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, οὐκ ἄνευ πολλῶν ψυχῶν ἀποβολῆς, καὶ βαρείας ζημίας τῆς κατὰ τὴν ἐκκλησίαν ἑνότητος, πεπλανημένη τις διεσπάρη περὶ δικαιώσεως διδασκαλία, διὰ ταῦτα ἡ ἱερὰ καὶ ἁγία οἰκουμενικὴ ἡ ἐν Τριδέντῳ σύνοδος ἐν πνεύματι ἁγίῳ νομίμως συναχθοῦσα, προεδρευόντων ἐπ' ὀνόματι τοῦ ἁγιωτάτου ἐν Χριστῷ πατρὸς καὶ κυρίου ἡμῶν κυρίου Παύλου θείᾳ προνοίᾳ Πάπα τρίτου, τῶν αἰδεσιμωτάτων κυρίων Ιωάννου Μαρία δε Μόντε ἐπισκόπου Πραινεστίνων, καὶ Μαρκέλλου τοῦ κατὰ τίτλον τοῦ ἁγίου σταυροῦ ἐν Ιερουσαλὴμ πρεσβυτέρου, τῶν τῆς Ρωμαϊκῆς ἐκκλησίας Καρδινάλεων, καὶ ἀποστολικῶν ἀπὸ τοῦ πλευροῦ Ληγάτων, εἰς δόξαν θεοῦ παντοκράτορος, γαλήνην τε τῆς ἐκκλησίας, καὶ σωτηρίαν τῶν ψυχῶν, προτίθεται τοῖς πιστοῖς πᾶσιν ἐξηγήσασθαι τὴν περὶ δικαιώσεως ἀληθινὴν, καὶ ὑγιαίνουσαν διδασκαλίαν, ἣν ὁ τῆς δικαιοσύνης ἥλιος, ἀρ-

χηγὸς

χηγός τε καὶ τελειωτὴς τῆς πίστεως τῆς ἡμετέρας Ἰησοῦς Χριστὸς ἐδίδαξεν, οἵτε ἀπόστολοι παρέδοσαν, καὶ ἡ καθολικὴ ἐκκλησία ὑπαγορεύοντος τοῦ ἁγίου πνεύματος διηνεκῶς ἐκράτησεν. εἰρκτότερον τε ἀπαγορεύει μηδένα τοῦ λοιποῦ τολμᾶν ἄλλως φρονεῖν, ἢ κηρύττειν, ἢ διδάσκειν παρ' ἃ ἐν τῷ προκειμένῳ τούτῳ δόγματι διατέτακται καὶ ἀποπέφανται.

Περὶ τῆς τῆς φύσεως καὶ τοῦ νόμου ἀδυναμείας τοῦ δικαιοῦν τὸν ἄνθρωπον. κεφ. α΄.

Πρῶτον διασαφεῖ ἡ ἁγία σύνοδος, ὅτι πρὸς τὸ τὴν διδασκαλίαν τῆς δικαιώσεως ὀρθῶς καὶ εἰλικρινῶς καταλαβεῖν, δεῖ ἕκαστον ἐπιγινώσκειν τε καὶ ὁμολογεῖν, ὡς ἐν τῇ τοῦ Ἀδὰμ παραβάσει τῶν ἀνθρώπων πάντων τὴν ἀκακίαν ἀπολεσάντων, ἀκαθάρτων τε καὶ (ὡς ὁ ἀπόστολος φησὶν) φύσει ὀργῆς τέκνων γενομένων (καθὼς ἐν τῷ περὶ τῆς προγονικῆς ἁμαρτίας δόγματι ἡ αὐτὴ σύνοδος ἐξηγήσατο) ἐπὶ τοσοῦτον δοῦλοι ἦσαν τῆς ἁμαρτίας, καὶ ὑπὸ τῇ τοῦ διαβόλου, καὶ τῇ τοῦ θανάτου ἐξουσίᾳ καθεσταμένοι, ὥστε μὴ μόνον τὰ ἔθνη τῇ τῆς φύσεως δυνάμει, ἀλλ' οὐδὲ τοὺς ἰουδαίους αὐτῷ ἔτι μὴν τῷ τοῦ Μωσαϊκοῦ νόμου γράμματι ἐκεῖθεν ἀπαλλαγῆναι, ἢ ἀναστῆναι δύνασθαι. καὶ ἐν αὐτοῖς τὸ αὐτεξούσιον, εἰ καὶ ταῖς δυνάμεσιν ἐκέκλιτό τε καὶ λελέπτυντο, οὐδαμῶς ὅμως ἀπέσβεσο.

Περὶ τῆς οἰκονομίας καὶ τοῦ μυστηρίου τῆς τοῦ Χριστοῦ ἐλεύσεως. κεφ. β΄.

Ὅθεν γέγονεν ὥστε τὸν οὐράνιον πατέρα, πατέρα οἰκτιρμῶν, καὶ θεὸν πάσης παρακλήσεως, τὸν υἱὸν αὐτοῦ Ἰησοῦν Χριστὸν, τὸν καὶ πρὸ τοῦ νόμου, καὶ ἐν τῷ καιρῷ τοῦ νόμου πολλοῖς τῶν ἁγίων πατέρων ἐμφανισθέντα τε, καὶ ἐπαγγελθέντα, ὅτ' ἦλθε τὸ μακάριον ἐκεῖνο πλήρωμα τοῦ χρόνου εἰς τοὺς ἀνθρώπους ἐξαποστεῖλαι, ἵνα τούς τε ἰουδαίους τοὺς ὑπὸ νόμον ὄντας ἐξαγοράσῃ, καὶ τὰ ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην,

τὴν δικαιοσύνην καταλάβῃ, καὶ πάντες τὴν υἱοθεσίαν ἀπολάβωσι. τοῦτον προέθετο ὁ θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. καὶ οὐχ ὑπὲρ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν ὅλου τοῦ κόσμου.

Τίνες οἱ διὰ Χριστοῦ δικαιούμενοι. κεφ. γʹ.

Οὐ μὴν ἀλλὰ καὶ ὑπὲρ πάντων ἐκεῖνος ἀπέθανεν, ὅμως οὐ πάντες τὴν ἀπὸ τοῦ θανάτου αὐτοῦ εὐεργεσίαν ἀπολαμβάνουσιν, ἀλλ᾽ ἐκεῖνοι μόνοι, ὅσοις ἡ ἀξία τοῦ πάθους αὐτοῦ κοινωνεῖται. ὥσπερ γὰρ τῷ ὄντι ἐὰν μὴ ἐκ τοῦ σπέρματος τοῦ Αδὰμ καταγόμενοι ἐγεννῶντο οἱ ἄνθρωποι, οὐκ ἂν ἄδικοι ἐγεννῶντο, οἵγε τῇ καταγωγῇ ταύτῃ δι᾽ ἐκεῖνον ἐν τῷ συλλαμβάνεσθαι ἰδίαν ἕλκουσιν ἀδικίαν, οὕτως ἐὰν μὴ ἐν Χριστῷ ἀνεγεννῶντο, οὐδέποτ᾽ ἂν ἐδικαιοῦντο. ἐπείπερ τῇ ἀναγεννήσει ταύτῃ διὰ τῆς ἀξίας τοῦ πάθους αὐτοῦ, ἡ χάρις ᾗ δικαιοῦνται, δίδοται αὐτοῖς. ὑπὲρ ταύτης τῆς εὐεργεσίας ὁ ἀπόστολος εὐχαριστεῖν ἡμᾶς ἀεὶ προτρέπεται τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτὶ, καὶ ῥυσαμένῳ ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μεταστήσαντι εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν.

Υπεμφαίνεται ὑπογραφὴ τῆς δικαιώσεως τοῦ ἀσεβοῦς, καὶ ὁ τρόπος αὐτῆς ἐν καταστάσει χάριτος. κεφ. δʹ.

Δι᾽ ὧν ῥημάτων ὑπογραμμὸς δικαιώσεως τοῦ ἀσεβοῦς ὑπεμφαίνεται καὶ ὑποτυποῦται, ὡς εἶναι αὐτὴν μετάστασιν ἐκ τῆς προτέρας καταστάσεως, ἐν ᾗ τέκνον τοῦ προτέρου Αδὰμ γεννᾶται ὁ ἄνθρωπος, εἰς τὴν τῆς χάριτος καὶ υἱοθεσίας θεοῦ διὰ τοῦ δευτέρου Αδὰμ Ιησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. ἣν δὴ μετάστασιν ἐξ ὅτουπερ ἐκηρύχθη τὸ εὐαγγέλιον, χωρὶς τοῦ τῆς ἀναγεννήσεως λουτροῦ, ἢ αὐτοῦ εὐχῆς οὐ δυνατόν ἐστι γίνεσθαι, καθὼς γέγραπται. ἐὰν μήτις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος ἁγίου, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.

Ὅτι ἀναγκαία τοῖς ἐν ἡλικίᾳ ἡ εἰς τὴν δικαίωσιν προπαρασκευὴ καὶ πόθεν ἐστί. κεφ. ε΄.

Παρὰ δὲ ταῦτα ἀποφαίνει ἡ σύνοδος ὅτι δεῖ τὴν τῆς δικαιώσεως ἀρχὴν ἐν τοῖς τελείοις ἀπὸ τῆς τοῦ θεοῦ διὰ Ἰησοῦ Χριστοῦ προφθανούσης ἡμᾶς χάριτος λαμβάνεσθαι, τουτέστιν ἀπὸ τῆς ἐκείνου κλήσεως, ᾗ μηδεμιᾶς προϋπαρχούσης αὐτῶν ἀξίας, καλοῦνται. ἵνα οἱ διὰ τὰς ἁμαρτίας ἀπὸ θεοῦ ἀπεστραμμένοι, διὰ τῆς ἐπεγειρούσης, καὶ ἀντιλαμβανομένης αὐτοῦ χάριτος, πρὸς τὸ ἐπὶ τὴν σφῶν αὐτῶν δικαίωσιν ἐπιστραφῆναι τῷ τῇ αὐτῇ χάριτι αὐτεξουσίως συγκατατίθεσθαι καὶ συμπράττειν, διατεθῶσιν καὶ εὐθετισθῶσιν, ὥστε τῷ τοῦ ἁγίου πνεύματος φωτισμῷ ἁπτομένου τοῦ θεοῦ τῆς τοῦ ἀνθρώπου καρδίας, μήτε τὸν ἄνθρωπον αὐτὸν πάντως ἄπρακτον εἶναι, ὅς γε τὴν ἔμπνευσιν ἐκείνην παραδέχεται, ἣν καὶ ἀπωθεῖσθαι δύναται. μήτε μὴν ἄνευ τῆς θείας χάριτος τῇ ἰδίᾳ αὐθαιρέτῳ βουλήσει ἔχειν πρὸς τὴν ἐνώπιον αὐτοῦ δικαιοσύνην κινηθῆναι. ὅθεν ὅταν ἐν ταῖς ἱεραῖς γραφαῖς ἀκούομεν, (ἐπιστρέψατε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς,) τῆς ἡμετέρας ἐξουσίας ὑπομιμνησκόμεθα, ἐξ ὧν δὴ ἀποκρινόμεθα, (ἐπίστρεψον ἡμᾶς κύριε πρὸς σὲ, καὶ ἐπιστραφησόμεθα) ὑπὸ τῆς τοῦ θεοῦ χάριτος προφθάνεσθαι ὁμολογοῦμεν.

Περὶ τοῦ τρόπου τῆς προπαρασκευῆς. κεφ. ϛ΄.

Διατίθενται δὲ καὶ εὐθετίζονται πρὸς αὐτὴν τὴν δικαιοσύνην, ἐν ᾧ ὑπὸ τῆς θείας χάριτος διεγειρόμενοι καὶ βοηθούμενοι, ἐξ ἀκοῆς τὴν πίστιν συλλαμβάνοντες, αὐθαιρέτως πρὸς τὸν θεὸν κινοῦνται. πιστεύοντες ἀληθῆ εἶναι τὰ θεόθεν ἀποκεκαλυμμένα, καὶ ἀπηγγελμένα. ἐν πρώτοις δὲ τὸ ὑπὸ τοῦ θεοῦ διὰ τῆς αὐτοῦ χάριτος, καὶ τῆς ἐν Χριστῷ Ἰησοῦ ἀπολυτρώσεως, δικαιοῦσθαι τὸν ἀσεβῆ. ἐν ᾧ ἁμαρτωλοὺς ἑαυτοὺς εἶναι κατανοοῦντες, ἐκ τοῦ τῆς θείας δίκης δείματος, ᾧ συμφερόντως συντινάσσονται, πρὸς τὸ κατανοεῖν τὸν τοῦ θεοῦ

οἰκτιρμὸν ἐπιστρεφόμενοι, εἰς ἐλπίδα ἀνορθοῦνται, πεποιθότες ἵλεων σφίσιν διὰ Χριστὸν ἔσεσθαι τὸν θεὸν, ἐκεῖνόν τε οἷα πηγὴν πάσης δικαιοσύνης ἀγαπᾶν ἄρχονται, καὶ διὰ τοῦτο μίσει τινὶ καὶ βδελυγμίᾳ κινοῦνται κατὰ τῶν ἁμαρτιῶν. τοῦτο δ' ἐστὶν ἡ μετάνοια ἐκείνη, ἣν πρὸ τοῦ βαπτίσματος ποιεῖσθαι προσήκει. καὶ τὸ λοιπὸν ἐν ᾧ ἀναλαβεῖν τε τὸ βάπτισμα, καὶ βίον ἐνάρξασθαι καινὸν, καὶ τὰς θείας τηρεῖν ἐντολὰς ἑαυτοῖς προστιθέασι. περὶ ταύτης οὖν τῆς διαθέσεως, καὶ εὐθετίσεως γέγραπται τό. (πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ θεῷ, ὅτι ἐστὶ, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται.) καὶ τὸ, (θάρσει τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου,) καὶ τὸ, (φόβος κυρίου ἀπελαύνει ἁμαρτίαν,) καὶ τὸ, (μετανοεῖτε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος,) καὶ τὸ, (πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν) καὶ τέλος τὸ, (ἑτοιμάσατε τὰς καρδίας ὑμῶν πρὸς τὸν κύριον.)

Τίς ἡ τοῦ ἀσεβοῦς δικαίωσις, καὶ τίνα τὰ αἴτια αὐτῆς. κεφ. ζ΄.

Τῇ οὖν διαθέσει καὶ εὐθετίσει εἴτε προπαρασκευῇ ταύτῃ ἐπακολουθεῖ ἡ δικαίωσις, οὐ μόνον ἁμαρτιῶν ἄφεσις οὖσα, ἀλλὰ καὶ ἁγιασμὸς, καὶ ἀνακαίνωσις τοῦ ἔσωθεν ἀνθρώπου δι' ἑκουσίου ὑποδοχῆς, τῆς χάριτος καὶ τῶν δωρεῶν, ὅθεν ἐξ ἀδίκου δίκαιος γίνεται ὁ ἄνθρωπος, καὶ ἐξ ἐχθροῦ φίλος, ὥστε κατ' ἐλπίδα κληρονόμον αὐτὸν γίνεσθαι τῆς αἰωνίου ζωῆς. αἴτια δὲ τῆς δικαιώσεως ταύτης, τὸ μὲν οὗ ἕνεκα, ἡ τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ ἐστὶ δόξα καὶ ἡ αἰώνιος ζωή. τὸ δὲ ποιητικὸν, ὁ οἰκτίρμων ἐστὶ θεὸς, ὃς δωρεὰν ἀπολούει, καὶ ἁγιάζει, σφραγίζων καὶ χρίων τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ, ὅ ἐστιν

ἀῤῥα-

ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν. τὸ δὲ δι᾽ οὗ ἀξιούμεθα, ὁ ἠγαπημένος μονογενὴς αὐτοῦ ἐστὶν, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς. ὃς ἐχθρῶν ὄντων ἡμῶν, διὰ τὴν πολλὴν ἀγάπην ἣν ἠγάπησεν ἡμᾶς, τῷ ἁγίῳ αὐτοῦ παθήματι ἐν τῷ ξύλῳ τοῦ σταυροῦ τὴν δικαίωσιν ἡμῖν ἀπειργάσατο, καὶ ὑπὲρ ἡμῶν τῷ πατρὶ τὸ ἱκανὸν ἐποίησεν. ὀργανικὸν δὲ αἴτιον, τὸ τοῦ βαπτίσματος ἐστὶ μυστήριον, ὅπερ ἐστὶ πίστεως μυστήριον, ἧς χωρὶς οὐδένα ποτὲ συνέβη δικαιωθῆναι. λοιπὸν δὲ εἰδοποιὸν αἴτιον, ἓν καὶ μόνον ἐστὶν ἡ τοῦ θεοῦ δικαιοσύνη, οὐχ ἣ αὐτὸς ἐστὶ δίκαιος, ἀλλ᾽ ἣ ἡμᾶς δικαίους ποιεῖ, ἧς δηλαδὴ ὑμῖν ὑπ᾽ αὐτοῦ χαρισθείσης, ἀνανεούμεθα τῷ πνεύματι τοῦ νοὸς ἡμῶν, καὶ οὐ μόνον λογιζόμεθα ὡς δίκαιοι, ἀλλὰ καὶ ἀληθῶς ὀνομαζόμεθά τε καὶ ἐσμὲν, δικαιοσύνην ἐν ἑαυτοῖς παραλαμβάνοντες τὴν ἑαυτοῦ ἕκαστος κατὰ τὸ μέτρον, ὃ τὸ πνεῦμα τὸ ἅγιον ἑκάστοις διαμερίζει, ὡς βούλεται, καὶ κατὰ τὴν ἰδίαν ἑκάστου διάθεσιν καὶ συνεργίαν. κἂν γὰρ οὐδεὶς δύναται δίκαιος εἶναι, ᾧ μὴ τοῦ κυριακοῦ παθήματος ἡ ἀξία κοινωνεῖται, τοῦτο δ᾽ ὅμως ἐν τῇ τοῦ ἀσεβοῦς δικαιώσει ταύτῃ γίνεται, ἐν ᾧ διὰ τῆς ἀξίας τοῦ ἁγίου αὐτοῦ παθήματος ἡ τοῦ θεοῦ ἀγάπη διὰ πνεύματος ἁγίου ἐν ταῖς τῶν δικαιουμένων καρδίαις ἐγχύεταί τε καὶ ἐνίσχεται. ὅθεν ἐν αὐτῷ τῷ δικαιοῦσθαι ἅμα τῇ ἀφέσει τῶν ἁμαρτιῶν πάντα ταῦτα συνεπιχεόμενα λαμβάνει ὁ ἄνθρωπος, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ διὰ πίστεως, καὶ ἐλπίδος, καὶ ἀγάπης ἐγκεντρίζεται. ἡ γὰρ πίστις ἐὰν μὴ ἥτε ἐλπὶς αὐτῇ καὶ ἡ ἀγάπη προσγένηται, οὔτε τελείως ἑνοῖ τῷ Χριστῷ, οὔτε ζῶν μέλος τοῦ σώματος αὐτοῦ ἀπεργάζεται. διόπερ ἀληθέστατα λέγεται, ὅτι ἡ πίστις χωρὶς ἔργων, νεκρά ἐστι καὶ ἀργὴ, καὶ ὅτι ἐν Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις ἡ δι᾽ ἀγάπης ἐνεργουμένη. ταύτην τὴν πίστιν περὶ τοῦ μυστηρίου τοῦ βαπτίσματος ἐκ παραδόσεως τῶν ἀποστόλων οἱ κατηχούμενοι αἰτοῦσι παρὰ τῆς ἐκκλησίας ἐν ᾧ

τὴν πίστιν αἰτιοῦνται ζωὴν αἰώνιον παρεχομένην, ἣν χωρὶς ἐλπίδος καὶ ἀγάπης παρέχειν ἡ πίστις οὐ δύναται. ὅθεν καὶ τὸν τοῦ Χριστοῦ λόγον παραχρῆμα ἀκούουσιν. εἰ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς. τὴν οὖν ἀληθινὴν καὶ χριστιανικὴν δικαιοσύνην λαμβάνοντες, ταύτην οἱονεὶ πρώτην στολὴν ἀντ᾽ ἐκείνης ἧς ὁ Ἀδὰμ τῇ ἰδίᾳ παρακοῇ ἑαυτῷ τε καὶ ἡμῖν ἀπώλεσε, διὰ Ἰησοῦ Χριστοῦ αὐτοῖς χαρισθεῖσαν, λευκήν τε καὶ ἄσπιλον ἐπειδὰν πρῶτον ἀναγεννηθῶσι κελεύονται διαφυλάττειν. ὅπως αὐτὴν πρὸ τοῦ βήματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀνενέγκωσι καὶ ζωὴν ἀπέχωσιν αἰώνιον.

Πῶς ἐκληπτέον τὸ τὸν ἀσεβῆ διὰ πίστεως καὶ δωρεὰν δικαιοῦσθαι. κεφ. η΄.

Ὅταν δὲ λέγῃ ὁ ἀπόστολος διὰ πίστεως καὶ δωρεὰν δικαιοῦσθαι τὸν ἄνθρωπον, ταῦτα κατ᾽ ἐκείνην τὴν ἔννοιαν ἐκλαμβάνειν δεῖ, καθ᾽ ἣν διηνεκῶς ἡ καθολικὴ ἐκκλησία κοινῇ συμφωνήσει ἐνόησε τε καὶ ἐξήγγειλεν, ὅτι δηλαδὴ διὰ τοῦτο πίστει δικαιοῦσθαι λεγώμεθα, διότι τῆς ἀνθρωπίνης σωτηρίας ἀρχὴ καὶ θεμέλιον καὶ ῥίζα πάσης δικαιοσύνης ἡ πίστις ἐστὶν, ἧς χωρὶς ἀδύνατον εὐαρεστῆσαι θεῷ, καὶ εἰς τὴν μερίδα τοῦ κλήρου τῶν υἱῶν αὐτοῦ ἀφικέσθαι. δωρεὰν δὲ διὰ τοῦτο δικαιοῦσθαι λεγόμεθα, ὅτι τῶν τῆς δικαιώσεως προηγουμένων, οὐδὲν εἴτε πίστις εἴτε ἔργα τῆς χάριτος ᾗ δικαιούμεθα ἐστὶν ἄξιον. εἰ γὰρ χάριτι, οὐκ ἔτι ἐξ ἔργων. ἐπεὶ κατὰ τὸν αὐτὸν ἀπόστολον, ἡ χάρις οὐκ ἔτι γίνεται χάρις.

Κατὰ τῆς κενῆς καὶ ματαίας τῶν αἱρετικῶν πεποιθήσεως. κεφ. θ΄.

Εἰ καὶ τοίνυν ἀναγκαῖον ἐστὶ πιστεύειν μὴ ἀφίεσθαι, μήτε ἀφεῖσθαι ποτὲ ἁμαρτίας ἄλλως ἢ δωρεὰν οἰκτιρμῷ θεοῦ διὰ Χριστὸν, οὐδενὶ ὅμως τῶν τὴν πεποίθησιν καὶ πληροφορίαν τῆς τῶν ἰδίων ἁμαρτημάτων ἀφέσεως αὐχούντων, καὶ ταύτῃ

μόνον

μόνον ἐπαναπαυομένων, ἀφίεσθαι ἢ ἀφεῖσθαι ἁμαρτίας φατέον ἐστί, διὰ τὸ ἐνδέχεσθαί ποτε τοῖς αἱρετικοῖς καὶ σχισματικοῖς ἔχειν τὴν κενὴν ταύτην καὶ πάσης εὐσεβείας ἀφεστηκυῖαν πεποίθησιν. μᾶλλον δὲ ἤδη ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἔχουσί τε καὶ μεγάλῃ κατὰ τῆς καθολικῆς ἐκκλησίας φιλονεικίᾳ κηρύττουσι. οὐ μὴν ἀλλ' οὐδ' ἐκεῖνο θετέον ἐστί, δεῖν τοὺς ὡς ἀληθῶς δεδικαιωμένους χωρὶς ὅλως δισταγμοῦ τινος παρ' ἑαυτοῖς ἐγνωσμένον ἔχειν, δεδικαιοῦσθαί τε ἑαυτούς, καὶ μηδένα τῶν ἁμαρτιῶν ἀπολελύσθαι καὶ δεδικαιῶσθαι, ὃς ἂν μὴ βεβαίως πιστεύῃ ἀπολελύσθαί τε ἑαυτὸν καὶ δεδικαιῶσθαι, καὶ ταύτῃ τε μόνον τῇ πίστει τήν τε ἀπόλυσιν καὶ δικαίωσιν τελειοῦσθαι. ὡς δῆθεν ἐάν τις μὴ τοῦτο πιστεύοι, οὗτος περὶ τῶν τοῦ θεοῦ ἐπαγγελιῶν καὶ τῆς ἐνεργείας τοῦ θανάτου τε καὶ ἀναστάσεως τοῦ Χριστοῦ ἐδίσταζε. ἐπεί τοί γε καθάπερ οὐδεὶς ὀφείλει τῶν εὐσεβῶν οὔτε περὶ τῶν τοῦ θεοῦ οἰκτιρμῶν, οὔτε περὶ τῆς τοῦ Χριστοῦ ἀξίας, καὶ τῆς τῶν μυστηρίων δυνάμεώς τε καὶ ἐνεργείας διστάζειν, οὕτω πᾶς τις εἰς ἑαυτόν τε καὶ τὸ ἑαυτοῦ ἀσθενὲς καὶ ἀνδιάθετον ἀφορῶν, περὶ τῆς αὐτοῦ χάριτος δεδιέναι ἂν ἔχοι καὶ φοβεῖσθαι. οὐδενὸς δή που κατὰ πληροφορίαν πίστεως, ᾗ ψεῦδος ὑποκεῖσθαι οὐ δύναται, τῆς τοῦ θεοῦ χάριτος ἐπιτετυχηκέναι ἑαυτὸν εἰδέναι δυναμένου.

Περὶ αὐξήσεως τῆς ἀπειλημμένης δικαιώσεως. κεφ. δέκατον.

Οὕτως οὖν δεδικαιωμένοι, φίλοι τε τοῦ θεοῦ καὶ οἰκεῖοι γεγενημένοι, πορευόμενοί τε ἐκ δυνάμεως εἰς δύναμιν, ἡμέρᾳ καὶ ἡμέρᾳ, ὥς φησιν ὁ ἀπόστολος, ἀνακαινοῦνται. τουτέστιν ἀπονεκροῦντες τὰ μέλη τῆς σαρκὸς αὐτῶν, καὶ παριστάνοντες αὐτὰ ὅπλα δικαιοσύνης εἰς ἁγιασμὸν διὰ τηρήσεως τῶν ἐντολῶν τοῦ θεοῦ καὶ τῆς ἐκκλησίας, ἐν τῇ διὰ τῆς τοῦ Χριστοῦ χάριτος παρειλημμένῃ δικαιοσύνῃ συνεργούσης

τῆς

τῆς πίστεως τοῖς ἀγαθοῖς ἔργοις αὐξάνουσι, καὶ ἐπὶ μᾶλλον δικαιοῦνται. καθὼς γέγραπται. ὁ δίκαιος δικαιωθήτω ἔτι. καὶ πάλιν. μὴ μείνης ἕως θανάτου δικαιωθῆναι. καὶ αὖθις. ὁρᾶτε ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον. ταύτην τῆς πίστεως τὴν ἐπίδοσιν αἰτεῖται ἡ ἐκκλησία, ἐν ᾧ λέγεται. δὸς ἡμῖν κύριε πίστεως, ἐλπίδος, καὶ ἀγάπης αὔξησιν.

Περὶ τοῦ τηρεῖν τὰς ἐντολάς, ὅτι ἀναγκαῖον καὶ δυνατὸν γενέσθαι. κεφ. ιαʹ.

Οὐδεὶς δὲ καὶ ὁποσονοῦν ἤ δεδικαιωμένος, ἠλευθερῶσθαι ἀπὸ τῆς τῶν ἐντολῶν τηρήσεως ἑαυτὸν ὀφείλει νομίζειν. μηδεὶς οὖν τῇ ἀπονενοημένῃ καὶ πρὸς τῶν πατέρων ἐπὶ ἀναθέματι ἀπηγορευμένῃ φωνῇ ἐκείνῃ χρήσθω. τὰς τοῦ θεοῦ δηλονότι ἐντολὰς τῷ δεδικαιωμένῳ τηρεῖν ἀδύνατον εἶναι. οὐ γὰρ ἀδύνατα κελεύει ὁ θεός, ἀλλὰ κελεύων, παραινεῖ ποιεῖν τε ὃ ἂν δυνηθῇς, καὶ αἰτεῖσθαι ὃ ἂν μὴ δυνηθῇς, καὶ συναντιλαμβάνεται ὅπως δυνηθῇς. οὗ αἱ ἐντολαὶ βαρεῖαι οὐκ εἰσίν. οὗ ὁ ζυγὸς χρηστός ἐστι, καὶ τὸ φορτίον ἐλαφρόν. οἱ γὰρ ὄντες υἱοὶ θεοῦ, ἀγαπῶσι τὸν Χριστόν. οἱ δὲ ἀγαπῶντες αὐτόν, ὡς αὐτὸς μαρτυρεῖ, τηροῦσι τοὺς λόγους αὐτοῦ. ὃ δή που σὺν τῇ τοῦ θεοῦ βοηθείᾳ παρέχεσθαι δύνανται. κἂν γὰρ ἐν τῷ θνητῷ βίῳ τούτῳ οἱ ὁποσονοῦν ὅσιοι καὶ δίκαιοι, εἰς ἐλαφρὰ γοῦν τινα καὶ καθημερινὰ παραπτώματα, ἃ δὴ καὶ συγγνωστὰ λέγοιντ᾽ ἄν, ἐμπίπτωσί ποτε, ὅμως οὐ διὰ τοῦτο παύονται δίκαιοι ὄντες. τῶν γὰρ δικαίων ἡ φωνή ἐστιν ἐκείνη ταπεινοφρόνως ἅμα καὶ ἀληθινῶς εἰρημένη. ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. ὅθεν τοσούτῳ μᾶλλον ἐνόχους ἑαυτοὺς ὀφείλουσι νομίζειν οἱ δίκαιοι ἐν ὁδῷ δικαιοσύνης βαδίζειν, ὅσῳ ἐλευθερωθέντες ἤδη ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ θεῷ, νηφαλίως τε καὶ δικαίως καὶ ὁσίως βιοῦντες προκόπτειν δύνανται διὰ Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ τὴν προσαγωγὴν ἐσχήκασιν,

εἰς τὴν χάριν ταύτην. ὁ γὰρ θεὸς τοὺς ἅπαξ τῇ αὐτοῦ χάριτι δικαιωθέντας, οὐκ ἐγκαταλείπει, ἐὰν μὴ πρότερον ὑπ' αὐτῶν ἐγκαταλειφθῇ. ὥστε οὐδεὶς ἐν μόνῃ τῇ πίστει ἑαυτῷ ἀρέσκειν ὀφείλει, οἰόμενος διὰ μόνην τὴν πίστιν κληρονόμος καταστα θῆναι, καὶ τῆς κληρονομίας τεύξεσθαι, κἂν τῷ Χριστῷ μὴ συμπάσχοι, ἵνα καὶ συνδοξασθῇ. ἐπεὶ καὶ αὐτὸς ὁ Χριστὸς, ὥς φησιν ὁ ἀπόστολος, καίπερ ὢν υἱὸς τοῦ θεοῦ, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν, καὶ τελειωθεὶς, ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου. διόπερ ὁ αὐτὸς ἀπόστολος νουθετῶν τοὺς δεδικαιωμένους λέγει, οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον. οὕτως τρέχετε, ἵνα καταλάβητε. ἐγὼ τοίνυν οὕτως τρέχω ὡς οὐκ ἀδήλως. οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. ἔτι ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος. σπουδάσατε (φησὶ) βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι. ταῦτα γὰρ ποιοῦντες, οὐ μὴ πταίσητε ποτέ. ὅθεν φανερὸν γίνεται ὡς οἱ λέγοντες ὅτι ἐν παντὶ ἔργῳ ἀγαθῷ καὶ γοῦν συγγνωστῶς ἁμαρτάνει ὁ δίκαιος, ἢ ὃ καὶ μᾶλλον ἐστὶν ἀφόρητον, ὅτι τῆς αἰωνίου κολάσεως ἄξιός ἐστιν, οὗτοι τῇ τῆς ὀρθοδόξου εὐσεβείας διδασκαλίᾳ ἐναντιοῦνται. κἀκεῖνοι δὲ ὅσοι τίθενται ὡς ἐν πᾶσι τοῖς ἔργοις ἁμαρτάνουσιν οἱ δίκαιοι, ἐὰν τὴν σφῶν αὐτῶν νωθρότητα ἐπεγείροντες, ἑαυτούς τε πρὸς τὸ τρέχειν τὸ στάδιον παροτρύνοντες, ἅμα τῷ ἐν πρώτοις τὴν τοῦ θεοῦ δόξαν σκοπεῖν, ἔτι μὴν καὶ πρὸς τὸν αἰώνιον μισθὸν ἀποβλέπωσι, ὅπου καὶ γέγραπταί γε. ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου, δι' ἀντάμειψιν. καὶ περὶ Μωσέως λέγει ὁ ἀπόστολος, ὅτι ἀπέβλεπεν εἰς τὴν μισθαποδοσίαν.

Ὅτι

Ὅτι φυλάττεσθαι δεῖ τὴν περὶ τοῦ θείου προορισμοῦ αὐθάδη καὶ ἀποτετολμημένην πρόληψιν. κεφ. ιβʹ.

Οὐδεὶς δέ γε ἐφ᾽ ὅσον χρόνον ἐν τῷ θνητῷ τούτῳ βίῳ διάγει, περὶ τοῦ κρυφίου μυστηρίου τοῦ θείου προορισμοῦ ἐπὶ τοσοῦτον αὐτογνώμων εἶναι ὀφείλει, ὥστε βεβαίως ὑποστήσασθαι τῷ τῶν προορισθέντων ἀριθμῷ ἑαυτὸν ἐντετάχθαι, ὡς εἰ καὶ ἀληθὲς ὑπῆρχε, τὸ τὸν ἅπαξ δικαιωθέντα ἢ μηκέτι ἁμαρτάνειν δύνασθαι, ἢ καὶ ἐὰν ἁμάρτῃ, βεβαίαν ὅμως ἑαυτῷ τὴν ἀνάληψιν ὀφείλειν ἐπαγγέλλεσθαι. ἐπεί τοι γε εἰ μὴ ἐξ ἰδικῆς ἀποκαλύψεως, οὐκ ἔστι γνῶναι τίνας ἑαυτῷ ὁ θεὸς ἐξελέξατο.

Περὶ τοῦ τῆς ἐπιμονῆς χαρίσματος. κεφ. ιγʹ.

Ὁμοίως δὲ καὶ περὶ τοῦ τῆς ἐπιμονῆς χαρίσματος, περὶ οὗ γέγραπται. ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. ὃ δὴ καὶ ἄλλοθεν οὐκ ἔστι κομίσασθαι, ἢ παρ᾽ ἐκείνου, ὅς ἐστι δυνατὸς τόν τε ἱστάμενον στῆσαι, ἵνα ἐπιμόνως στήκῃ, καὶ τὸν πίπτοντα ἀποκαταστῆσαι, μηδεὶς ἑαυτῷ βέβαιόν τι ὁλοτελεῖ πληροφορίᾳ ὑπισχνείσθω. καί τοι γε ἐπὶ τῇ τοῦ θεοῦ βοηθείᾳ βεβαιοτάτην ἐλπίδα καθιδρύσαι καὶ κατατίθεσθαι πᾶς τις ὀφείλει. ὁ γὰρ θεὸς ἐὰν μὴ αὐτοὶ ἀπὸ τῆς ἐκείνου χάριτος ὑστερήσωσι, καθὼς προενήρξατο ἔργον ἀγαθὸν, οὕτω καὶ ἐπιτελέσει ἐνεργῶν τό, τε θέλειν, καὶ τὸ ἐνεργεῖν. πλὴν ἀλλὰ οἱ δοκοῦντες ἑστάναι, βλεπέτωσαν μὴ πέσωσι, καὶ μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν ἐλεημοσύναις, προσευχαῖς τε, καὶ προσφοραῖς, ἐν νηστείαις, καὶ ἁγνότητι. εἰδότες γὰρ ἑαυτοὺς οὔπω εἰς δόξαν, ἀλλ᾽ εἰς ἐλπίδα δόξης ἀναγεγεννῆσθαι, δεδιέναι ὀφείλουσι περὶ τῆς περιούσης μάχης πρὸς τὴν σάρκα, πρός τε τὸν κόσμον, καὶ πρὸς τὸν διάβολον. ἐν ᾗ νικητὰς αὐτοὺς οὐκ ἐνδέχεται γενέσθαι, ἐὰν μὴ μετὰ τῆς τοῦ θεοῦ χάριτος, τῷ

ἀπο-

ἀποστόλῳ πειθαρχήσωσι λέγοντι. ὀφειλέται ἐσμὲν οὐ τῇ σαρ-
κὶ τοῦ κατὰ σάρκα ζῆν. εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνή-
σκειν. εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦ-
τε, ζήσεσθε.

Περὶ τῶν ὠλισθηκότων, καὶ τῆς τούτων ἀπο-
καταστάσεως. κεφ. ιδʹ.

Οἱ δὲ ἀπὸ τῆς δεχθείσης χάριτος τῆς δικαιώσεως δι᾿ ἁ-
μαρτίαν ἐκπεπτωκότες, πάλιν δικαιωθῆναι δυνήσονται,
ἐὰν θεοῦ διεγείροντος διὰ τοῦ τῆς μετανοίας μυστηρίου, τῇ τοῦ
Χριστοῦ ἀξίᾳ τὴν χάριν ἣν ἀπέβαλον ἐπανακτήσασθαι ἐ-
πιμεληθῶσι. τῆς γὰρ δικαιώσεως ὁ τρόπος οὗτος, τοῖς ὠλισθη-
κόσι ἐστὶν ἀποκατάστασις, ἣν δευτέραν μετὰ τὸ ναυάγιον τῆς
ἀπολεσθείσης χάριτος σανίδα, ἐπιτηδείως οἱ ἅγιοι πατέ-
ρες ὠνόμασαν. ὑπὲρ γὰρ τῶν μετὰ τὸ βάπτισμα εἰς ἁμαρτίας ὀ-
λισθαινόντων ὁ Χριστὸς τὸ τῆς μετανοίας μυστήριον ἐνομοθέ-
τησεν, ὅτε εἶπε. λάβετε πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς
ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται.
ὅθεν ῥητέον, τὴν τοῦ χριστιανοῦ μετὰ τὸ πτῶμα μετάνοιαν, πολ-
λὰ διαφέρειν τῆς κατὰ τὸ βάπτισμα, περιέχειν τε μὴ μόνον τὴν
ἀπὸ τῶν ἁμαρτιῶν παῦσιν καὶ τὴν τούτων βδελυγμίαν, ἢ καρ-
δίαν συντετριμμένην καὶ τεταπεινωμένην, ἀλλὰ καὶ τὴν μυ-
στηριακὴν τῶν ἁμαρτημάτων ἐξομολόγησιν, κἂν γοῦν ἐν εὐ-
χῇ καὶ κατὰ τὸν οἰκεῖον χρόνον γενησομένην, καὶ τὴν παρὰ τοῦ
ἱερέως ἀπόλυσιν, ἔτι δὲ τὴν ἱκανοποιίαν, τὴν διὰ νηστειῶν καὶ
ἐλεημοσυνῶν, καὶ προσευχῶν, καὶ ἄλλων τοῦ πνευματικοῦ
βίου ὁσίων ἐπιτηδευμάτων, καὶ ταύτην οὐχ ὑπὲρ τῆς αἰω-
νίου ποινῆς, ἥτις ἢ διὰ αὐτοῦ τοῦ μυστηρίου, ἢ διὰ τῆς τοῦ μυστη-
ρίου εὐχῆς ἅμα τῷ πταίσματι ἀφίεται, ἀλλ᾿ ὑπὲρ τῆς προσ-
καίρου, ἥτις κατὰ τῶν ἱερῶν γραμμάτων διδασκαλίαν, οὐχ ὁ-
λοχερὴς ἀεὶ (καθάπερ ἐν τῷ βαπτίσματι) ἀφίεται ἐκεί-
νοις, οἱ πρὸς τὴν θείαν χάριν ἣν ἔλαβον ἀχαριστήσαντες,

τὸ πνεῦμα τὸ ἅγιον ἐλύπησαν, καὶ τὸν ναὸν τοῦ θεοῦ φθείρειν οὐκ εὐλαβήθησαν. περὶ ταύτης τῆς μετανοίας γέγραπται. μνημόνευε πόθεν ἐκπέπτωκας, μετανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον. καὶ πάλιν. ἡ γὰρ κατὰ θεὸν λύπη, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. καὶ αὖθις. μετανοεῖτε, καὶ ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας.

Ὅτι δι᾽ ἕκαστον τῶν θανασίμων ἁμαρτημάτων ἀπόλλυται ἡ χάρις, οὐ μὴν ἡ πίστις. κεφ. ιέ.

Ἔτι κατεναντίον πανούργων καὶ κακοήθων τινῶν ἀνθρώπων, οἳ διὰ χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων, διαβεβαιωτέον ἐστὶν, ὡς οὐ μόνον δι᾽ ἀπιστίαν, δι᾽ ἣν καὶ αὐτὴ ἡ πίστις ἀπόλλυται, ἀλλὰ καὶ δι᾽ ὁποιονοῦν ἄλλο θανάσιμον ἁμάρτημα, εἰ καὶ μὴ ἡ πίστις, ἀλλ᾽ οὖν ἥγε παρειλημμένη τῆς δικαιώσεως χάρις ἀπόλλυται. τῆς θείου νόμου διδασκαλίας ὑπερμαχοῦντας, ἣ τῆς τοῦ θεοῦ βασιλείας οὐ τοὺς ἀπίστοις μόνοις ἐκκλείει, ἀλλὰ καὶ τοὺς πιστοὺς μὲν, πόρνοις δὲ, ἢ μοιχοὺς, ἢ μαλακοὺς, ἢ ἀρσενοκοίτας, ἢ κλέπτας, ἢ πλεονέκτας, ἢ μεθύσους, ἢ λοιδόρους, ἢ ἅρπαγας, καὶ τοὺς ἄλλους ἅπαντας, τοὺς τὰ θανάσιμα ἁμαρτήματα ἀποτελοῦντας, ἀφ᾽ ὧν σὺν τῇ τῆς θείας χάριτος βοηθείᾳ ἀπέχεσθαι δύνανται, καὶ ὑπὲρ ὧν ἀπὸ τῆς τοῦ Χριστοῦ χάριτος χωρίζονται.

Περὶ τοῦ καρποῦ τῆς δικαιώσεως, ἤγουν περὶ τῆς ἀξίας τῶν ἀγαθῶν ἔργων, καὶ περὶ τοῦ λόγου τῆς ἀξίας. κεφ. ιϛʹ.

Τούτῳ δὴ τῷ τρόπῳ δεδικαιωμένοις τοῖς ἀνθρώποις, ἐάν τε διηνεκῶς τὴν παρειλημμένην χάριν διατετηρηκότες ὦσιν, ἐάν τε ἀπολεσθεῖσαν ἀνακεκομισμένοι, προθετέον τὰ τοῦ ἀποστόλου ῥήματα ἐκεῖνα. περισσεύετε ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰδότες ὅτι ὁ κόπος ὑμῶν, οὐκ ἔστι κενὸς ἐν κυρίῳ. οὐ γὰρ ἄδικος ὁ θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου

τῆς

τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ. κἀκεῖνα. μὴ ἀποβάλητε τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην. καὶ διὰ τοῦτο τοῖς τ᾽ ἀγαθὰ μέχρι τέλους ἐργαζομένοις καὶ ἐπὶ τὸν θεὸν ἐλπίζουσι, προτείνειν δεῖ τὴν αἰώνιον ζωὴν, τὴν καὶ ὡς χάριτι υἱοῖς θεοῦ διὰ Χριστοῦ Ιησοῦ οἰκτιρμὸν ἐπαγγελθεῖσαν, καὶ ὡς μισθὸν τοῖς ἐκείνων ἀγαθοῖς ἔργοις καὶ τῇ ἀξίᾳ, ἐκ τῆς τοῦ θεοῦ ἐπαγγελίας πιστῶς ἀποδοθῆναι ὀφειλομένην. οὗτος γάρ ἐστιν ὁ τῆς δικαιοσύνης στέφανος ἐκεῖνος, ὃν μετὰ τὸν ἑαυτοῦ ἀγῶνα καὶ δρόμον ἀποκεῖσθαι οἱ ἔφασκεν ὁ ἀπόστολος, ὑπὸ τοῦ δικαίου κριτοῦ αὐτῷ ἀποδοθησόμενον. καὶ οὐ μόνον αὐτῷ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. ἐπεὶ γὰρ αὐτὸς ἐκεῖνος ὁ Χριστὸς, καθάπερ κεφαλὴ εἰς τὰ μέλη καὶ ἄμπελος εἰς τὰ κλήματα, εἰς αὐτοὺς τοὺς δεδικαιωμένους διαπαντὸς δύναμιν ἐπιχεῖ. ἡ δὲ δύναμις αὕτη τὰ ἐκείνων ἀγαθὰ ἔργα ἀεὶ προπορεύεται, συμπορεύεταί τε καὶ ἐπακολουθεῖ, καὶ χωρὶς αὐτῆς οὔτ᾽ εὐάρεστα αὐτὰ, οὔτε ἀξιόμισθα εἶναι ἐνεδέχετο, οὐδὲν τοῖς δεδικαιωμένοις ἐνδεῖν ἔτι πιστευτέον, τοῦ μὴ τοῖς γε ἐν θεῷ εἰργασμένοις ἔργοις πεπληρωμένως τῷ τοῦ θεοῦ νόμῳ κατά γε τὴν τοῦ βίου τούτου κατάστασιν τὸ ἱκανὸν πεποιηκέναι, καὶ τῆς αἰωνίου ἔτι μὴν ζωῆς κατὰ τὸν οἰκεῖον χρόνον τυγχάνειν, ἐάν γε ἐν τῇ τοῦ θεοῦ χάριτι ἀπογίνωνται, ἀληθινῶς ἄξιοι γεγονέναι νομίζεσθαι. ὅπου γε Χριστὸς ὁ σωτὴρ ἡμῶν λέγει. ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον. καὶ οὕτως οὔτε τὴν οἰκείαν ἡμῶν δικαιοσύνην ὡς ἐξ ἡμῶν οἰκείαν εἶναι καθίσταμεν, οὔτε ἀγνοοῦμεν ἢ ἐκβάλλομεν τὴν τοῦ θεοῦ δικαιοσύνην. ἡ γὰρ ἡμῶν εἶναι λεγομένη δικαιοσύνη, ὅτι δι᾽ αὐτῆς ἡμῖν προσισχομένης δικαιούμεθα, τοῦ θεοῦ ἐστιν ἡ αὐτὴ ἐκείνη, ὅτι παρὰ τοῦ θεοῦ ἡμῖν διὰ τὴν τοῦ Χριστοῦ ἀξίαν ἐπεγ-

χεῖται. ἀλλ' οὐδ' ἐκεῖνο παρετέον ἐστὶν, ὅτι κἂν ἐπὶ τοσοῦτον ἐν τοῖς ἱεροῖς γράμμασι τὰ ἀγαθὰ ἔργα προτιμῶνται, ὥστε ὃς ἂν ποτίσῃ ἕνα τῶν ἐλαχίστων αὐτοῦ ποτήριον ψυχροῦ μόνον, τοῦτον οὐ μὴ ἀπολέσειν τὸν μισθὸν αὐτοῦ ὁ Χριστὸς ἐπαγγέλλεται, καὶ ὁ ἀπόστολος μαρτυρεῖ τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεσθαι ἡμῖν, ὅμως μὴ γένοιτο τὸν χριστιανὸν ἑαυτῷ ἢ πεποιθέναι ἢ ἐγκαυχᾶσθαι, καὶ μὴ ἐν κυρίῳ. οὗ τοσαύτη ἐστὶ πρὸς ἅπαντας ἀνθρώποις ἡ ἀγαθοσύνη, ὥστε ἐν ἀξίας μέρει ἐκείνοις τίθεσθαι, ἃ δωρεὰν αὐτοῖς χαρίζεται. ἀλλ' ἐπεὶ πολλὰ πταίομεν πάντες, διὰ τοῦτο ἕκαστος ἡμῶν καθάπερ τὸν οἰκτιρμὸν καὶ τὴν χρηστότητα, οὕτω καὶ τὴν ἀποτομίαν καὶ κρίσιν τοῦ θεοῦ πρὸ ὀφθαλμῶν ἔχειν ὀφείλει. καὶ μὴ ἑαυτόν τις κἂν μηδὲν ἑαυτῷ συνειδὼς τυγχάνῃ κρίνειν. καὶ γὰρ ἡ τῶν ἀνθρώπων ζωὴ πᾶσα, οὐ τῇ τῶν ἀνθρώπων κρίσει ἐξετασθῆναι καὶ κριθῆναι μέλλει, ἀλλὰ τῇ τοῦ θεοῦ, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ. ὃς, καθὼς γέγραπται, ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Μετὰ τὴν περὶ δικαιώσεως καθολικὴν διδασκαλίαν ταύτην, ἣν ἐὰν μή τις πιστῶς καὶ βεβαίως ἀποδέξηται, οὐ δυνήσεται δικαιωθῆναι, ἤρεσε τῇ ἁγίᾳ συνόδῳ τοὺς ὑπογεγραμμένους κανόνας τούτοις ἐπισυνάπτειν, ὅπως εἰδῶσιν ἅπαντες οὐ μόνον ἃ δεῖ φρονεῖν τε καὶ διώκειν, ἀλλὰ καὶ τί ἐκκλίνειν καὶ φεύγειν ὀφείλουσι.

ΠΕΡΙ ΔΙΚΑΙΩΣΕΩΣ

Κανὼν πρῶτον.

Εάν τις εἴπη δικαιωθῆναι δύνασθαι ἐνώπιον τοῦ θεοῦ τὸν ἄνθρωπον ἐκ τῶν ἑαυτοῦ ἔργων, τῶν ἢ τῇ δυνάμει τῆς ἀνθρωπίνης φύσεως, ἢ τῇ τοῦ νόμου διδασκαλίᾳ γινομένων, χωρὶς τῆς διὰ Ἰησοῦ Χριστοῦ χάριτος τοῦ θεοῦ, ἀνάθεμα ἔστω.

Κανὼν β'.

Ἐάν τις εἴπη πρὸς τοῦτο μόνον δίδοσθαι τὴν διὰ Ἰησοῦ Χριστοῦ χάριν τοῦ θεοῦ, ἵνα εὐκοπώτερον δύνηται δικαίως ζῆν ὁ ἄνθρωπος, καὶ τῆς αἰωνίου ζωῆς ἀξιοῦσθαι, ὡς εἰ καὶ διὰ τοῦ αὐτεξουσίου ἀνευ τῆς χάριτος ἑκάτερον, ἀλλὰ γλίσχρως ὅμως καὶ δυσκόλως ἐδύνατο, ἀνάθεμα ἔστω.

Κανὼν γ'.

Ἐάν τις εἴπη ὅτι χωρὶς τῆς προφθανούσης ἐμπνεύσεως τοῦ ἁγίου πνεύματος καὶ τῆς αὐτοῦ βοηθείας, δύναται ὁ ἄνθρωπος πιστεύειν, ἢ ἐλπίζειν, ἢ ἀγαπᾶν, ἢ μετανοεῖν ὡς δεῖ, ὥστε τὴν τῆς δικαιώσεως χάριν αὐτῷ χορηγηθῆναι, ἀνάθεμα ἔστω.

Κανὼν δ'.

Εάν τις εἴπη τὸ τοῦ ἀνθρώπου αὐτεξούσιον ὑπὸ τοῦ θεοῦ κινούμενον, καὶ ἐγειρόμενον, μηδὲν συνεργεῖν συγκατατιθέμενον τῷ θεῷ διεγείροντι καὶ καλοῦντι, ὥστε διατεθῆναι καὶ παρασκευασθῆναι πρὸς τὸ τὴν τῆς δικαιώσεως χάριν καταλαβεῖν, μηδὲ δύνασθαι διαφέρεσθαι ἐὰν βουληθῇ, ἀλλ' ὡς ἄψυχόν τι μηδὲν τὸ παράπαν ἐνεργεῖν, καὶ ἀκράτως παθητικῶς ἔχειν, ἀνάθεμα ἔστω.

Κανὼν ε'.

Εάν τις εἴπη τὸ τοῦ ἀνθρώπου αὐτεξούσιον μετὰ τὸ τοῦ Ἀδὰμ παράπτωμα ἀπολεσθῆναι καὶ ἀποσβέσθαι, ἢ πρᾶγμα εἶναι ἐν ὀνόματι μόνῳ, ὄνομα μὲν οὖν γε χωρὶς πράγματος, καὶ ὅλως ἐπίπλασόν τι ὑπὸ τοῦ σατανᾶ ἐπεισαχθὲν εἰς τὴν ἐκκλησίαν, ἀνάθεμα ἔστω.

Κανὼν ϛʹ.

Ἐάν τις εἴπῃ μὴ ἐν τῇ τοῦ ἀνθρώπου ἐξουσίᾳ εἶναι, τὰς ὁδοὺς αὐτοῦ πονηρὰς ποιῆσαι, ἀλλ' ὡς τὰ ἀγαθά, οὕτω καὶ τὰ πονηρὰ ἔργα τὸν θεὸν ἐνεργεῖν, οὐ μόνον τῷ ἐπιτρέπειν καὶ ἐφιέναι, ἀλλ' ἔτι μὴν κυρίως καὶ καθ' αὑτό, ὥστε ἴδιον αὐτοῦ ἔργον εἶναι οὐχ ἧττον τὴν τοῦ Ἰούδα προδοσίαν, ἢ τὴν τοῦ Παύλου κλῆσιν, ἀνάθεμα ἔστω.

Κανὼν ζʹ.

Ἐάν τις εἴπῃ πάντα τὰ πρὸ τῆς δικαιώσεως γινόμενα ἔργα, ὁποίῳ ἄν ποτε λόγῳ ᾖ γεγενημένα, ἀληθινῶς ἁμαρτήματα εἶναι, ἢ τοῦ μίσους τοῦ θεοῦ ἄξια, ἢ ὅσῳ ἄν τις σφοδρότερον πρὸς τὴν χάριν ἑαυτὸν διαθετίζειν πειρᾶται, τοσούτῳ βαρύτερον ἁμαρτάνειν, ἀνάθεμα ἔστω.

Κανὼν ηʹ.

Ἐάν τις εἴπῃ τὸν τῆς γεέννης φόβον, δι' ὃν ἐπὶ τοῖς ἡμετέροις ἁμαρτήμασιν ὀδυνώμενοι, πρὸς τὸ ἔλεος τοῦ θεοῦ καταφεύγομεν, ἢ τοῦ ἁμαρτάνειν ἀπεχόμεθα, τοῦτον ἁμαρτίαν εἶναι, ἢ τοὺς ἁμαρτωλοὺς χείρους ποιεῖν, ἀνάθεμα ἔστω.

Κανὼν θʹ,

Ἐάν τις εἴπῃ μόνῃ τῇ πίστει τὸν ἀσεβῆ δικαιοῦσθαι οὕτως, ὥστε νοεῖν μηδὲν ἄλλο ἀπαιτεῖσθαι ὃ πρὸς τὸ τῆς χάριτος τῆς δικαιώσεως ἐπιτυχεῖν συνεργάζηται, καὶ ἐξ οὐδενὸς μέρους ἀναγκαῖον αὐτῷ εἶναι, τῷ τῆς ἰδίας βουλήσεως κινήματι προπαρασκευασθῆναι καὶ διατεθῆναι, ἀνάθεμα ἔστω.

Κανὼν ιʹ.

Ἐάν τις εἴπῃ χωρὶς τῆς τοῦ Χριστοῦ δικαιοσύνης, δι' ἧς ἡμῖν τὴν ἀξίαν περιεποίησε, δικαιοῦσθαι τοὺς ἀνθρώπους, ἢ δι' αὐτὴν ἐκείνην εἰδοποιῶς δικαίους εἶναι, ἀνάθεμα ἔστω.

Κανὼν ιαʹ.

Ἐάν τις εἴπῃ δικαιοῦσθαι τοὺς ἀνθρώπους μόνῃ τῇ ἐλλογήσει τῆς τοῦ Χριστοῦ δικαιοσύνης, ἢ μόνῃ τῇ τῶν ἁμαρτιῶν ἀφέσει, ἐκκλεισθείσης τῆς χάριτος καὶ τῆς ἀγάπης τῆς ἐν ταῖς

καρ-

δίαις αὐτῶν διὰ πνεύματος ἁγίου ἐκχυομένης καὶ προσισχομένης, ἢ ἔτι μὴν τὴν χάριν ᾗ δικαιούμεθα εὐδοκίαν εἶναι τοῦ θεοῦ, ἀνάθεμα ἔστω. Κανὼν ιβʹ.

Ἐάν τις εἴπῃ τὴν δικαιοῦσαν πίστιν μηδὲν ἄλλο εἶναι ἢ πεποίθησιν τοῦ θείου οἰκτιρμοῦ, διὰ Χριστὸν ἀφιέντος τὰς ἁμαρτίας, ἢ τὴν πεποίθησιν ταύτην μόνην εἶναι ᾗ δικαιούμεθα, ἀνάθεμα ἔστω. Κανὼν ιγʹ.

Ἐάν τις εἴπῃ παντὶ ἀνθρώπῳ εἰς τὸ ἀφέσεως ἁμαρτιῶν τυχεῖν ἀναγκαῖον εἶναι, ἵνα βεβαίως καὶ χωρὶς τινὸς δισταγμοῦ περὶ τῆς ἰδίας ἀσθενείας καὶ ἀδιαθεσίας, πιστεύῃ ἀφεῖσθαι οἱ τὰς ἁμαρτίας, ἀνάθεμα ἔστω.

Κανὼν ιδʹ.

Ἐάν τις εἴπῃ τὸν ἄνθρωπον ἀπολελύσθαι τε τῶν ἁμαρτιῶν καὶ δεδικαιῶσθαι ἐκ τοῦ ὅτι ἀπολύεται καὶ δικαιοῦται βεβαίως πιστεύειν, ἢ μηδένα ἀληθινῶς δεδικαιῶσθαι πλὴν τὸν πιστεύοντα ὅτι δεδικαίωται, καὶ ταύτῃ μόνον τῇ πίστει τήν τε ἀπόλυσιν καὶ τὴν δικαίωσιν τελειοῦσθαι, ἀνάθεμα ἔστω.

Κανὼν ιεʹ.

Ἐάν τις εἴπῃ τὸν ἀναγεννηθέντα καὶ δικαιωθέντα ἄνθρωπον, ὀφείλειν ἐκ πίστεως πιστεῦσαι βεβαίως ἑαυτὸν ἐν τοῖς τῶν προωρισμένων ἀριθμοῖς εἶναι, ἀνάθεμα ἔστω. Κανὼν ιϛʹ.

Ἐάν τις τὸ μέγα ἐκεῖνο χάρισμα τῆς μέχρι τέλους ἐπιμονῆς βεβαίως ἑαυτὸν ἕξειν ἁπλῶς καὶ ἀδιαψεύστῳ πληροφορίᾳ ἀποφήνηται, ἐὰν μὴ τοῦτο ἐξ ἰδικῆς ἀποκαλύψεως διδαχθῇ, ἀνάθεμα ἔστω. Κανὼν ιζʹ.

Ἐάν τις τὴν τῆς δικαιώσεως χάριν οὐκ ἄλλοις πλὴν τοῖς εἰς τὴν ζωὴν προωρισμένοις συμβαίνειν εἴπῃ, τοὺς δὲ λοιποὺς πάντας ὅσοι καλοῦνται, καλεῖσθαι μὲν, τὴν μέν τοι χάριν μὴ λαμβάνειν, ἅτε δὴ θείᾳ ἐξουσίᾳ προωρισμένους εἰς τὸ κακὸν, ἀνάθεμα ἔστω. Κανὼν ιηʹ.

Ἐάν τις εἴπῃ τὰς ἐντολὰς τοῦ θεοῦ, ἀνθρώπῳ ἔτι μὴν δε-

δικαιω-

δικαιωμένῳ καὶ ὑπὸ χάριν καθεσαμένῳ ἀδυνάτους εἶναι τηρεῖσθαι, ἀνάθεμα ἔστω. Κανὼν ιθ'.

Εάν τις εἴπῃ μηδὲν πλέον ἢ τὴν πίστιν ἐν τῷ εὐαγγελίῳ παρηγγέλθαι, τὰ δὲ λοιπὰ ἀδιάφορα εἶναι, μήτε ἐντεταλμένα, μήτε ἀπηγορευμένα, ἀλλ᾽ ἐλεύθερα, ἢ τὸν τῶν ἐντολῶν δεκάλογον μηδὲν προσήκειν τοῖς χριστιανοῖς, ἀνάθεμα ἔστω.

Κανὼν κ'.

Εάν τις εἴπῃ τὸν δεδικαιωμένον ἄνθρωπον καὶ ὁποσονοῦν τέλειον, μὴ ἐνέχεσθαι τῇ τηρήσει τῶν ἐντολῶν τοῦ θεοῦ καὶ τῆς ἐκκλησίας, ἀλλὰ τῷ πιστεύειν μόνον, ὡς εἰ καὶ τὸ εὐαγγέλιον ψιλὴ ἦν καὶ ἁπλὴ ἐπαγγελία τῆς αἰωνίου ζωῆς ἄνευ ῥητῆς συμβάσεως τοῦ τηρεῖν τὰς ἐντολάς, ἀνάθεμα ἔστω.

Κανὼν κα'.

Εάν τις εἴπῃ τὸν Χριστὸν παρὰ τοῦ θεοῦ δεδόσθαι τοῖς ἀνθρώποις ὡς λυτρωτὴν ᾧ πεπείσονται, οὐκ ἔτι δὲ καὶ ὡς νομοθέτην ᾧ πειθαρχήσωσιν, ἀνάθεμα ἔστω.

Κανὼν κβ',

Εάν τις εἴπῃ τὸν δεδικαιωμένον ἤτοι χωρὶς εἰδικῆς βοηθείας τοῦ θεοῦ ἐν τῇ παρειλημμένῃ δικαιώσει ἐπιμένειν δύνασθαι, ἢ καὶ σὺν ταύτῃ μὴ δύνασθαι, ἀνάθεμα ἔστω.

Κανὼν κγ'.

Εάν τις εἴπῃ τὸν ἅπαξ δικαιωθέντα μηκέτι ἁμαρτάνειν δύνασθαι, μήτε τὴν χάριν ἀπολέσαι, καὶ διὰ τοῦτο τὸν ὀλισθαίνοντα καὶ ἁμαρτάνοντα μηδέποτε ἀληθινῶς δεδικαιῶσθαι, ἢ τοὐναντίον δύνασθαι ἐν ὅλῃ τῇ ζωῇ αὐτοῦ πάντα τὰ ἁμαρτήματα καὶ αὐτὰ δὴ τὰ συγγνωστὰ φυλάσσεσθαι καὶ ἐκκλίνειν, εἰ μὴ ἐξ εἰδικοῦ προνομίου τοῦ θεοῦ, καθὼς περὶ τῆς μακαρίας παρθένου κρατεῖ καὶ κατέχει ἡ ἐκκλησία, ἀνάθεμα ἔστω. Κανὼν κδ'.

Εάν τις εἴπῃ τὴν παρειλημμένην δικαιοσύνην μὴ διαφυλάττεσθαι, ἀλλὰ μηδὲ αὐξαίνεσθαι ἐνώπιον τοῦ θεοῦ διὰ

τῶν

τῶν ἀγαθῶν ἔργων, ἀλλ' αὐτὰ τὰ ἔργα καρποὺς μόνον καὶ σημεῖα εἶναι τῆς ἐπιτετυχημένης δικαιώσεως, ἀλλ' οὐκ αἴτια τοῦ ταύτην αὐξαίνεσθαι, ἀνάθεμα ἔστω.

Κανὼν κε΄.

Ἐάν τις εἴπῃ ἐν ἑκάστῳ ἀγαθῷ ἔργῳ τὸν δίκαιον κἂν γοῦν συγγνωστῶς ἁμαρτάνειν, ἢ (ὅπερ δυσανεκτότερόν ἐστιν) ὅτι θανασίμως ἁμαρτάνει, καὶ διὰ τοῦτο τῆς αἰωνίου κολάσεως ἄξιος γίνεται, μόνον τε διὰ τοῦτο οὐ κατακρίνεται, διότι ὁ θεὸς μὴ ἐλλογεῖ εἰς κατάκρισιν τὰ ἔργα ταῦτα, ἀνάθεμα ἔστω.

Κανὼν κϛ΄.

Ἐάν τις εἴπῃ μὴ δεῖν τοὺς δικαίους ἀντὶ τῶν ἀγαθῶν ἔργων τῶν ἐν θεῷ πεπραγμένων, αἰώνιον ἀνταπόδοσιν παρὰ τοῦ θεοῦ διὰ τὸ ἔλεος αὐτοῦ καὶ τὴν τοῦ Χριστοῦ ἀξίαν ἐλπίζειν καὶ προσδοκᾶν, ἐὰν ἐν τῷ ἀγαθοεργεῖν, καὶ τῷ τὰς θείας ἐντολὰς τηρεῖν μέχρι τέλους ἐπιμείνωσιν, ἀνάθεμα ἔστω.

Κανὼν κζ΄.

Ἐάν τις εἴπῃ μηδὲν εἶναι θανάσιμον ἁμάρτημα πλὴν τὸ τῆς ἀπιστίας, ἢ μηδενὶ ἄλλῳ κἂν ὁποσονοῦν βαρεῖ καὶ ἀτόπῳ ἁμαρτήματι εἰ μὴ τῷ τῆς ἀπιστίας τὴν ἅπαξ παρειλημμένην χάριν ἀπόλλυσθαι, ἀνάθεμα ἔστω.

Κανὼν κη΄.

Ἐάν τις εἴπῃ ὅτι ἀπολλυμένης διὰ τὴν ἁμαρτίαν τῆς χάριτος, ἀεὶ συναπόλλυται καὶ ἡ πίστις, ἢ ὅτι ἡ περιλειπομένη πίστις, οὐκ ἀληθινή ἐστι πίστις, κἂν μὴ ζῶσα ᾖ, ἢ ὅτι ὁ πίστιν ἔχων χωρὶς ἀγάπης, οὐκ ἔστι χριστιανὸς, ἀνάθεμα ἔστω.

Κανὼν κθ΄.

Ἐάν τις εἴπῃ τὸν μετὰ τὸ βάπτισμα ὀλισθήσαντα μὴ δύνασθαι διὰ τῆς τοῦ θεοῦ χάριτος ἀνεγερθῆναι, ἢ δύνασθαι μὲν, μόνῃ δὲ τῇ πίστει τὴν ἀπολλυμένην δικαιοσύνην ἐπανακτᾶσθαι χωρὶς τοῦ τῆς μετανοίας μυστηρίου, καθὼς ἡ ἁγία Ρωμαϊκὴ καὶ καθολικὴ ἐκκλησία ὑπὸ τοῦ δεσπότου Χριστοῦ καὶ τῶν ἀποστόλων αὐτοῦ διδαχθεῖσα μέχρι καὶ νῦν ὁμολο-

γεῖ καὶ τηρεῖ καὶ διδάσκει, ἀνάθεμα ἔστω.

Κανὼν λ'.

Ἐάν τις εἴπῃ ὅτι μετὰ τὴν παρειλημμένην χάριν τῆς δικαιώσεως παντὶ ἑκάστῳ ἁμαρτωλῷ μετανοοῦντι, τοιουτοτρόπως ἀφίεταί τε τὸ πταῖσμα, καὶ ἡ ἐνοχὴ τῆς αἰωνίου ποινῆς ἐξαλείφεται, ὥστε μηδεμίαν καταλείπεσθαι ἐνοχὴν πρὸς καιρὸν ποινῆς, ἣν ἤτοι ἐν τῷ νῦν αἰῶνι, ἢ κατὰ τὸν μέλλοντα ἐν τῷ καθαρτηρίῳ πυρὶ δέοι ἀποτιννύειν, πρὶν ἂν ἡ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν πάροδος ἀναπετασθῆναι δυνηθῇ, ἀνάθεμα ἔστω.

Κανὼν λα'.

Ἐάν τις εἴπῃ τὸν δεδικαιωμένον ἁμαρτάνειν ἐν ᾧ πρὸς τὸν αἰώνιον μισθὸν ἀποβλέπων ἀγαθοεργεῖ, ἀνάθεμα ἔστω.

Κανὼν λβ'.

Ἐάν τις εἴπῃ τὰ τοῦ δεδικαιωμένου ἀνθρώπου ἀγαθὰ ἔργα, οὕτως εἶναι τοῦ θεοῦ χαρίσματα, ὥστε μὴ καὶ αὐτοῦ τοῦ δεδικαιωμένου ἀγαθὰ ἀξιόμισθα εἶναι, ἢ τὸν δεδικαιωμένον αὐτὸν, μὴ τοῖς ἀγαθοῖς ἔργοις τοῖς διὰ τῆς θείας χάριτος καὶ τῆς ἀξίας Ἰησοῦ Χριστοῦ, οὗ μέλος ἐστὶ, γινομένοις ἀληθινῶς ἀξιοῦσθαι τῆς τε αὐξήσεως τῆς χάριτος, καὶ τῆς αἰωνίου ζωῆς, ἐάν γε ἐν χάριτι ἀπογίνηται ἐπιτυχίας, ἔτι δὲ μὴν καὶ αὐξήσεως τῆς δόξης, ἀνάθεμα ἔστω.

Κανὼν λγ'.

Ἐάν τις εἴπῃ τὴν τοῦ θεοῦ δόξαν, ἢ τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀξίαν, διὰ τὴν ὀρθόδοξον ταύτην περὶ δικαιώσεως διδασκαλίαν τὴν ὑπὸ τῆς ἁγίας συνόδου ἐν τῷ παρόντι τούτῳ δόγματι ἐκτεθειμένην, κατά τι μειοῦσθαι, καὶ μὴ μᾶλλον τήν τε τῆς ἡμετέρας πίστεως ἀλήθειαν, καὶ δὴ τὴν τοῦ θεοῦ καὶ Ἰησοῦ Χριστοῦ δόξαν λαμπρύνεσθαι, ἀνάθεμα ἔστω.

Καταγγελία τῆς ἐπιούσης πράξεως.

Ἀρέσκει ὑμῖν ἵνα ἡ μετὰ ταύτην ἐσομένη πρᾶξις, γένηται τῇ πέμπτῃ τῇ μετὰ τὴν πρώτην κυριακὴν τῆς ἐπιούσης τεσσαρακοστῆς, ἥτις ἔσται ἡμέρα τρίτη ἱσταμένου Μαρτίου μηνός. Ἀπεκρίθησαν, Ἀρέσκει.

ΠΡΑΞΙΣ ΕΒΔΟΜΗ ΓΕΝΟΜΕΝΗ
τρίτῃ ἱσταμένου Μαρτίου μηνὸς,
τοῦ ͵αφμζ' ἔτους.

Δόγμα περὶ μυστηρίων.

ΠΡΟΟΙΜΙΟΝ.

Πρὸς συντέλειαν τῆς περὶ δικαιώσεως σωτηριώδους διδασκαλίας τῆς ἐν τῇ προλαβούσῃ πράξει ὑπὸ τῶν πατέρων πάντων ὁμογνώμονι συμφωνίᾳ ἐκτεθειμένης, ἀκόλουθον ἔδοξεν εἶναι περὶ τῶν ἁγιωτάτων τῆς ἐκκλησίας μυστηρίων διαλαβεῖν, δι᾽ ὧν πᾶσα ἀληθινὴ δικαιοσύνη ἢ ἄρχεται, ἢ ἀρξαμένη αὐξάνεται, ἢ ἀπολεσθεῖσα ἀποκαθίσταται. διόπερ ἡ ἱερὰ καὶ ἁγία οἰκουμενικὴ ἐν Τριδέντῳ σύνοδος ἐν πνεύματι ἁγίῳ νομίμως συνελθοῦσα, προεδρευόντων ἐν αὐτῇ τῶν αὐτῶν τῆς ἀποστολικῆς καθέδρας Ληγάτων, πρὸς ἐξορισμὸν τῆς πλάνης καὶ ἀνατροπὴν τῶν αἱρέσεων, αἳ περὶ αὐτὰ τὰ ἁγιώτατα μυστήρια τὰ μὲν ἐκ τῶν πάλαι τοῖς πατράσιν ἡμῶν κατακριθεισῶν ἐξαναφθεῖσαι, τὰ δὲ ἐκ καινῆς ἐξευρεθεῖσαι, τῇ τε καθαριότητι τῆς ἐκκλησίας καὶ τῇ τῶν ψυχῶν σωτηρίᾳ μεγάλως ἀντιπράττουσιν, ἀντεχομένη τῆς τῶν θεοπνεύστων γραφῶν διδασκαλίας καὶ τῶν ἀποστολικῶν παραδόσεων, ἔτι δὲ τῆς τῶν ἄλλων συνόδων τε καὶ πατέρων ὁμολογίας, τοὺς ὑπογεγραμμένους τούτους κανόνας δογματίσαι καὶ καθιστᾶναι ᾠήθη δεῖν. ἐφεξῆς καὶ τοὺς ἐπιλοίπους ὅσοι πρὸς τὴν συμπλήρωσιν τῆς προχειρισθείσης ταυτησὶ πραγματείας περιλείπονται, ἐχομένως σὺν τῇ τοῦ θείου πνεύματος βοηθείᾳ ἐκθησομένη.

ΠΕΡΙ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ ΓΕΝΙΚΩΣ

Κανὼν πρῶτος.

Εάν τις εἴπῃ τὰ τοῦ καινοῦ νόμου μυστήρια μὴ πάντα ὑπὸ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ διατετάχθαι ἢ πλείονα ἢ ἐλάσσονα εἶναι τῶν ἑπτὰ τούτων, δηλονότι βαπτίσματος, χρίσματος, εὐχαριστίας, μετανοίας, ἐσχάτης χρίσεως, ἱεροῦ τάγματος, καὶ τοῦ κατὰ γάμον συνοικεσίου, ἢ καὶ τούτων τί τῶν ἑπτὰ μὴ ἀληθῶς καὶ κυρίως εἶναι μυστήριον, ἀνάθεμα ἔστω.

Κανὼν β'.

Εάν τις εἴπῃ αὐτὰ ταῦτα τὰ τοῦ καινοῦ νόμου μυστήρια μηδὲν τῶν τοῦ παλαιοῦ νόμου διαφέρειν, εἰ μὴ ὅτι αἱ θρησκεῖαι εἰσὶν ἕτεραι, καὶ τὰ ἐξώτερα ἔθιμα ἕτερα, ἀνάθεμα ἔστω.

Κανὼν γ'.

Εάν τις εἴπῃ τὰ ἑπτὰ μυστήρια ταῦτα οὕτως ἀλλήλοις ἴσα εἶναι, ὥστε μηδενὶ λόγῳ ἕτερον ἑτέρου τιμιώτερον εἶναι, ἀνάθεμα ἔστω.

Κανὼν δ'.

Εάν τις εἴπῃ τὰ τοῦ καινοῦ νόμου μυστήρια μὴ εἶναι ἀναγκαῖα εἰς σωτηρίαν, ἀλλὰ περισσὰ, χωρίς τε τοῦ μεταλαβεῖν αὐτῶν ἢ εὐχὴν ἔχειν, διὰ μόνης τῆς πίστεως παρὰ θεοῦ τὴν τῆς δικαιώσεως χάριν εὑρίσκεσθαι τοῖς ἀνθρώποις, καίπερ πάντων οὐκ ἀναγκαίων ὄντων ἑνὶ ἑκάστῳ, ἀνάθεμα ἔστω.

Κανὼν ε'.

Εάν τις εἴπῃ τὰ μυστήρια ταῦτα πρὸς μόνον τὸ τὴν πίστιν τρέφειν διατετάχθαι, ἀνάθεμα ἔστω.

Κανὼν ς'.

Εάν τις εἴπῃ τὰ τοῦ καινοῦ νόμου μυστήρια μὴ ἔχειν τὴν δι' αὐτῶν σημαινομένην χάριν, ἢ μὴ χορηγεῖν αὐτὴν τοῖς μὴ ἐμπόδιόν τι ἐπιπροσθοῦν τιθεμένοις, ὡς εἰ καὶ ἐξώτερα μόνον ἦσαν σημεῖα τῆς διὰ τῆς πίστεως παρειλημμένης χάριτος ἢ δικαιοσύνης, καὶ γνωρίσματά τινα τῆς τῶν χριστιανῶν ἐπαγγελίας τε καὶ προθέσεως, οἷς παρὰ τοῖς ἀνθρώποις

ἀπὸ

ἀπὸ τῶν ἀπίστων οἱ πιστοὶ διαγινώσκονται, ἀνάθεμα ἔστω.

Κανὼν ζ'.

Ἐάν τις εἴπῃ μὴ ἀεὶ καὶ πᾶσιν, ὅσον ἐπὶ τοῦ θεοῦ, δίδοσθαι διὰ τῶν τοιούτων μυστηρίων τὴν χάριν, κἂν ἐνθέσμως αὐτὰ ὑποδέξωνται, ἀλλὰ ποτὲ καὶ τισὶν, ἀνάθεμα ἔστω.

Κανὼν η'.

Ἐάν τις εἴπῃ ὅτι δι' αὐτῶν τῶν τοῦ καινοῦ νόμου μυστηρίων ἐξ αὐτοῦ τοῦ εἰργασμένου ἔργου οὐ χορηγεῖται χάρις, ἀλλὰ τὴν πίστιν μόνον τῆς θείας ἐπαγγελίας ἀρκεῖν πρὸς τὸ τῆς χάριτος ἐπιτυγχάνειν, ἀνάθεμα ἔστω.

Κανὼν θ'.

Ἐάν τις εἴπῃ ὅτι ἐν τρισὶ μυστηρίοις βαπτίσματι δηλονότι καὶ χρίσματι καὶ ἱερῷ τάγματι οὐκ ἐντυποῦται τῇ ψυχῇ χαρακτὴρ, ἤγουν σημεῖόν τι πνευματικὸν καὶ ἀνεξάλειπτον, ὅθεν καὶ δευτεροῦσθαι αὐτὰ οὐκ ἔξεστιν, ἀνάθεμα ἔστω.

Κανὼν ι'.

Ἐάν τις εἴπῃ πάντα χριστιανὸν ἐξουσίαν ἔχειν τοῦ τὸν λόγον καὶ τὰ μυστήρια πάντα διακονεῖν, ἀνάθεμα ἔστω.

Κανὼν ια'.

Ἐάν τις εἴπῃ μὴ ἀπαιτεῖσθαι τὸ τοὺς ὑπηρέτας τῶν μυστηρίων ἐν ᾧ ταῦτα τελεσιουργοῦσι καὶ χορηγοῦσι σκοπὸν ἔχειν κἂν τοῦ ποιεῖν ὃ ποιεῖ ἡ ἐκκλησία, ἀνάθεμα ἔστω.

Κανὼν ιβ'.

Ἐάν τις εἴπῃ τὸν θανασίμῳ ἁμαρτήματι ἐνεχόμενον ὑπηρέτην, ἐὰν μόνον τὰ οὐσιώδη καὶ πρὸς τὴν κατασκευὴν καὶ χορηγίαν ἑκάστου μυστηρίου προσήκοντα πάντα τηρήσῃ, μὴ τελεσιουργεῖν ἢ χορηγεῖν τὸ μυστήριον, ἀνάθεμα ἔστω.

Κανὼν ιγ'.

Ἐάν τις εἴπῃ τοὺς παραδεχθέντας καὶ δοκιμασθέντας τῆς καθολικῆς ἐκκλησίας θεσμοὺς τοὺς ἐν τῇ τῶν μυστηρίων νομίμῳ διακονίᾳ ἐπιτηδεύεσθαι εἰωθότας, ἐξεῖναι ἢ καταφρονεῖσθαι, ἢ χωρὶς ἁμαρτίας πρὸς τὸ δοκοῦν ὑπὸ τῶν διακο-

νουμένων παραλείπεσθαι, ἢ εἰς καινούς τινας ἄλλους ὑφ' οὑτινοσοῦν ἐκκλησιαστικοῦ ποιμένος μεταβάλλεσθαι, ἀνάθεμα ἔστω.

ΠΕΡΙ ΒΑΠΤΙΣΜΑΤΟΣ

Κανὼν πρῶτος.

Ἐάν τις εἴπῃ τὸ βάπτισμα Ἰωάννου τὴν αὐτὴν ἐσχηκέναι δύναμιν, ἣν ἔχει τὸ τοῦ Χριστοῦ βάπτισμα, ἀνάθεμα ἔστω.

Κανὼν β'.

Ἐάν τις εἴπῃ τὸ ἀληθινὸν καὶ φυσικὸν ὕδωρ μὴ εἶναι τῶν ἐν τῷ βαπτίσματι ἀναγκαίων, καὶ διὰ τοῦτο τὰ ῥήματα ἐκεῖνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐάν τις μὴ γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος ἁγίου, εἰς μεταφοράν τινα παρατρέψῃ, ἀνάθεμα ἔστω. Κανὼν γ'.

Ἐάν τις εἴπῃ ἐν τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ, ἥτις πασῶν τῶν ἐκκλησιῶν μήτηρ ἐστὶ καὶ διδάσκαλος, μὴ εἶναι περὶ τοῦ μυστηρίου τοῦ βαπτίσματος ἀληθινὴν διδασκαλίαν, ἀνάθεμα ἔστω. Κανὼν δ'.

Ἐάν τις εἴπῃ τὸ βάπτισμα τὸ ἔτι μὴν ὑπὸ τῶν αἱρετικῶν διδόμενον εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, σὺν προθέσει τοῦ ποιεῖν ὅπερ ἡ ἐκκλησία ποιεῖ, μὴ εἶναι ἀληθινὸν βάπτισμα, ἀνάθεμα ἔστω. Κανὼν ε'.

Ἐάν τις εἴπῃ τὸ βάπτισμα ἐλεύθερον εἶναι, ἤγουν μὴ τῶν ἐξ ἀνάγκης ἀπαιτουμένων πρὸς σωτηρίαν, ἀνάθεμα ἔστω.

Κανὼν ς'.

Ἐάν τις εἴπῃ τὸν βαπτισθέντα μὴ δύνασθαι, κἂν βούληται, τὴν χάριν ἀπολέσαι κἂν ὁποσονοῦν ἁμαρτάνῃ, πλὴν ἐὰν οὐκ ἐθελήσῃ πιστεύειν, ἀνάθεμα ἔστω. Κανὼν ζ'.

Ἐάν τις εἴπῃ τοὺς βαπτισθέντας, τῆς πίστεως μόνης διὰ τοῦ βαπτίσματος ὀφειλέτας γίνεσθαι, οὐκέτι δὲ καὶ τῆς σύμπαντος

τοῦ νόμου τοῦ Χριστοῦ τηρήσεως, ἀνάθεμα ἔστω.

Κανὼν η΄.

Ἐάν τις εἴπῃ τοὺς βαπτισθέντας ἐλευθέρους εἶναι ἀπὸ πασῶν τῶν ἤτοι ἐγγράφων ἢ παραδεδομένων ἐντολῶν τῆς ἁγίας ἐκκλησίας, ὥστε τῷ ταύτας τηρεῖν μὴ ἐνέχεσθαι, πλὴν εἰ μὴ ἑκουσίως ἑαυτοὺς ἐκείναις ὑποτάττειν ἐθελήσωσι, ἀνάθεμα ἔστω.

Κανὼν θ΄.

Ἐάν τις εἴπῃ οὕτως ἀνακλητέον εἶναι τοὺς ἀνθρώπους εἰς τὴν τοῦ ὑποδεχθέντος βαπτίσματος μνήμην, ὥστε τὰς μετὰ τὸ βάπτισμα γινομένας εὐχὰς ἁπάσας τῇ τῆς ἤδη γενομένης ἐν τῷ βαπτίσματι ὑποσχέσεως δυνάμει ἀκύρους εἶναι συνιέναι. ὡς δι' ἐκείνων τῆς τε πίστεως ἣν ἐπηγγείλαντο ὑποβιβαζομένης καὶ αὐτοῦ τοῦ βαπτίσματος, ἀνάθεμα ἔστω.

Κανὼν ι΄.

Ἐάν τις εἴπῃ τὰ μετὰ τὸ βάπτισμα γινόμενα ἁμαρτήματα πάντα, μόνῃ τῇ ὑπομνήσει καὶ τῇ πίστει τοῦ ὑποδεχθέντος βαπτίσματος ἢ ἀφίεσθαι, ἢ συγγνωστὰ γίνεσθαι, ἀνάθεμα ἔστω.

Κανὼν ια΄.

Ἐάν τις εἴπῃ τὸ ἀληθινῶς καὶ νομίμως χορηγηθὲν βάπτισμα, δευτερωτέον εἶναι τῷ παρὰ τοῖς ἀπίστοις τὴν τοῦ Χριστοῦ πίστιν ἀρνηθέντι, ὅταν εἰς μετάνοιαν ἐπιστρέφῃ, ἀνάθεμα ἔστω.

Κανὼν ιβ΄.

Ἐάν τις εἴπῃ μηδένα βαπτιστέον εἶναι εἰ μὴ καθ' ἣν ἡλικίαν ὁ Χριστὸς ἐβαπτίσθη, ἢ ἐν αὐτῷ τῷ καιρῷ τοῦ ἐφισταμένου θανάτου, ἀνάθεμα ἔστω.

Κανὼν ιγ΄.

Ἐάν τις εἴπῃ τὰ μικρὰ παιδία διὰ τὸ μὴ πιστεύειν τῇ ἐνεργείᾳ, μετὰ τὸ βάπτισμα οὐ λογιστέον εἶναι αὐτὰ εἰς πιστούς, καὶ τούτου ἕνεκα, ἐπειδὰν εἰς τὰ τῆς διακρίσεως ἔτη ἀφίκωνται ἀναβαπτιστέον αὐτὰ εἶναι, ἢ ὅτι προτιμητέον τὸ παρίεσθαι αὐτῶν τὸ βάπτισμα μᾶλλον, ἢ μὴ κυρίως καὶ τῇ ἐνεργείᾳ πιστεύοντα ἐν μόνῃ τῇ πίστει τῆς ἐκκλησίας αὐτὰ

βαπτ-

βαπτίζεσθαι, ἀνάθεμα ἔστω. Κανὼν ιδ'.

Εάν τις εἴπῃ τοὺς οὕτω ἐκ νηπίων βαπτισθέντας, ἐπειδὰν ἀνδρωθῶσιν, ἐρωτᾶσθαι δεῖν εἰ κύρια ποιεῖν ἐθέλωσιν ἅπερ οἱ ἀναδοχεῖς ἐν τῷ βαπτίζεσθαι αὐτοὺς ἀντ' αὐτῶν ὑπέσχοντο, καὶ ἐὰν μὴ θέλειν ἀποκριθῶσιν, ἐν τῇ αὐτῶν ἐξουσίᾳ καταλειπτέον εἶναι, καὶ μηδεμιᾷ ἐν τῷ μεταξὺ ἑτέρα τιμωρίᾳ πρὸς τὸν χριστιανικὸν βίον ἀναγκαστέον, πλὴν ἵνα τοῦ τῆς τε εὐχαριστίας καὶ τῶν λοιπῶν μυστηρίων μεταλήψεως μέχρις ἂν ἀνανήψωσιν ἀπείργωνται, ἀνάθεμα ἔστω.

ΠΕΡΙ ΒΕΒΑΙΩΣΕΩΣ

Κανὼν πρῶτος.

Εάν τις εἴπῃ τὴν τῶν βαπτισθέντων βεβαίωσιν, ἀργὴν θρησκείαν εἶναι καὶ οὐ μᾶλλον ἀληθινῶς καὶ κυρίως μυστήριον, ἢ ὅτι πάλαι οὐδὲν ἀλλ' ἢ κατήχησίς τις ὑπῆρχε, δι' ἧς οἱ τῇ ἐφηβείᾳ προσεγγίζοντες, λόγον τῆς ἑαυτῶν πίστεως ἐνώπιον τῆς ἐκκλησίας ἐξετίθεσαν, ἀνάθεμα ἔστω.

Κανὼν β'.

Εάν τις εἴπῃ ἐνυβρίζειν τὸ πνεῦμα τὸ ἅγιον τοὺς τῷ ἱερῷ τῆς βεβαιώσεως χρίσματι δύναμίν τινα προστιθέντας, ἀνάθεμα ἔστω. Κανὼν γ'.

Εάν τις εἴπῃ τῆς ἁγίας βεβαιώσεως ὀρδινάριον ὑπηρέτην μὴ μόνον τὸν ἐπίσκοπον εἶναι, ἀλλὰ καὶ ὅντινα οὖν ἱερέα, ἀνάθεμα ἔστω.

Καταγγελία τῆς ἐπιούσης πράξεως.

Ετι ἡ ἁγία σύνοδος αὕτη ἔγνω καὶ ὥρισε τὴν μέλλουσαν πρᾶξιν γίνεσθαι δεῖν τῇ πέμπτῃ τῆς ἑβδομάδος τῆς μετὰ τὴν ἐπομένην κυριακὴν τὴν λεγομένην ἐν Αλβις, ἥτις ἔσται κα'. Απριλλίου μηνὸς τοῦ παρόντος ἔτους αφμζ'.

ΠΕΡΙ ΤΗΣ ΟΓΔΟΗΣ Ἐπὶ δὲ ἐννάτης καὶ δεκάτης πράξεως συνοπτικὴ διάληψις.

Ἡ ὀγδόη πρᾶξις κατηγγέλθη μὲν εἰς τὴν κα' Ἀπριλλίου μηνὸς τοῦ ,αφμζ' ἔτους, διὰ δὲ τὴν ἐν τῷ μεταξὺ χρόνῳ ἐπισκήψασαν τῇ Τριδέντου πόλει λοιμικὴν νόσον, συνελθόντες τῇ ια' τοῦ Μαρτίου οἱ κατὰ τὴν σύνοδον πατέρες, ἄλλο μὲν οὐδὲν ἔπραξαν, προτεθέντος δὲ αὐτοῖς τοῦ δόγματος περὶ τοῦ δεῖν μεθιστάναι τὴν σύνοδον ἐκ Τριδέντου εἰς Βονωνίαν διὰ τὴν ἐπισκήψασαν νόσον, ἤρεσε τοῖς πλείστοις τῶν πατέρων δεῖν γίνεσθαι τὴν μετάστασιν. καὶ ἐγένετο μετ' ὀλίγας ἡμέρας.

Σύνοψις τῆς ἐννάτης πράξεως γενομένης ἐν Βονωνίᾳ κα' Ἀπριλλίου μηνὸς, ,αφμζ' ἔτους.

Ἐν τῇ ἐννάτῃ πράξει προετέθη δόγμα περὶ τοῦ δεῖν εἰς τὸ ἐπιὸν ὑπερτεθῆναι τὴν εἰς τὴν εἰρημένην κα' Ἀπριλλίου μηνὸς ἡμέραν ἀφορισθεῖσαν περὶ τῶν ἁγίων μυστηρίων τῆς ἐκκλησίας σκέψιν, διὰ τὸ ἕως τότε ὀλίγους τινὰς τῶν πατέρων συνεληλυθέναι. καὶ ἤρεσεν ὑπερτεθῆναι τὴν σκέψιν.

Σύνοψις τῆς δεκάτης πράξεως γενομένης ἐν Βονωνίᾳ β' ἱσταμένου Ἰουνίου μηνὸς, ,αφμζ' ἔτους.

Ἐν τῇ δεκάτῃ πράξει προετέθη δόγμα, διὰ τὸ μήπω παραγεγονέναι ἱκανὸν πλῆθος πατέρων, ἔτι περαιτέρω ὑπερτεθῆναι τὴν περὶ τῶν μυστηρίων τῆς ἐκκλησίας σκέψιν. καὶ ἔδοξεν ἐπιτραπῆναι τῇ γνώμῃ καὶ προαιρέσει τῶν κατὰ τὴν σύνοδον παρόντων πατέρων τὸν καιρὸν τῆς σκέψεως ταύτης.

Μετὰ δὲ ταῦτα κατὰ τὴν ιδ' τοῦ Σεπτεμβρίου τοῦ αὐτοῦ ἔτους ἐν κοινῷ τῶν πατέρων συλλόγῳ ἐκράτησε δόγμα ὑπερ-

περτεθῆναι δεῖν ἔτι περαιτέρω τὴν περὶ τῶν μυστηρίων σκέψιν. καὶ ἤργησεν ἐπὶ τινὰ χρόνον ἡ σύνοδος. Ἐν δὲ τῷ μεταξὺ τελευτήσαντος Παύλου γ'. διεδέξατο τὴν ἀρχιερατείαν Ἰούλιος γ'. ἐφ' οὗ μετανέστη ἐκ Βονωνίας εἰς Τρίδεντον ἡ σύνοδος, ὅπου συνελθόντων τῶν οἷς προσῆκεν, ἐπεράχθη τὰ ἀκόλουθα, ὡς ἑξῆς ἐμμέρως γεγράψεται.

ΠΡΑΞΙΣ ΕΝΔΕΚΑΤΗ ΤΗΣ ΙΕΡΑΣ καὶ ἁγίας οἰκουμενικῆς Τριδεντινῆς συνόδου, ἥτις ἐστὶ πρώτη τῶν ἐπὶ Ἰουλίου γ'. ἄκρου ἀρχιερέως,

Γενομένη Μαΐου μηνὸς πρώτη ἱσταμένου, ἔτει χιλιοστῷ πεντακοσιοστῷ καὶ πεντηκοστῷ πρώτῳ τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνανθρωπήσεως.

Δόγμα περὶ τῆς ἐπαναλήψεως τῆς συνόδου.

Ἀρέσκει ὑμῖν εἰς αἶνον καὶ δόξαν τῆς ἁγίας καὶ ἀδιαιρέτου τριάδος πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, πρὸς αὔξησιν καὶ ὕψωσιν τῆς τῶν χριστιανῶν πίστεώς τε καὶ εὐσεβείας, δεῖν κατὰ τὸν τύπον καὶ τὴν περιοχὴν τῶν γραμμάτων τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου, ἐπαναλαβεῖν τὴν ἁγίαν οἰκουμενικὴν ἐν Τριδέντῳ σύνοδον, καὶ ἐς τὸ προσωτέρω προβαίνειν; Ἀπεκρίθησαν, Ἀρέσκει.

Καταγγελία τῆς ἐπιούσης πράξεως.

Ἀρέσκει ὑμῖν τὴν ἔγγιστα μέλλουσαν ἔσεσθαι πρᾶξιν, γίνεσθαι δεῖν τῇ πρώτῃ ἡμέρᾳ τοῦ ἐπιόντος Σεπτεμβρίου μηνὸς; Ἀπεκρίθησαν, Ἀρέσκει.

Σύνο-

Σύνοψις τῆς ιβ'. πράξεως δευτέρας οὔσης τῶν ἐπὶ Ἰουλίου τρίτου ἄκρου ἀρχιερέως, γενομένης τῇ πρώτῃ ἡμέρᾳ τοῦ Σεπτεμβρίου μηνὸς τοῦ ͵αφνα' ἔτους.

Ἐν τῇ ιβ'. συνόδῳ προετέθη δόγμα περὶ τῆς ὑπερθέσεως καὶ ἀναβολῆς τῆς περὶ τῶν μυστηρίων πραγματείας. περιέχει δὲ καὶ καταγγελίαν τῆς ιγ'. πράξεως, καὶ τῶν κατ' ἐκείνην ὀφειλόντων διαληφθῆναι. ἔτι δὲ καὶ προτροπὴν πρὸς τοὺς πατέρας, ἵνα ὑπὲρ τῆς ἐπιγνώσεως τῆς ἀληθινῆς πίστεως, καὶ τῆς ἑνότητος καὶ διορθώσεως τῆς ἐκκλησίας εὐχὰς τῷ θεῷ προσφέρωσι.

ΠΡΑΞΙΣ ΙΓ'. ΗΤΙΣ ΕΣΤΙ ΤΡΙΤΗ τῶν ἐπὶ Ἰουλίου τρίτου ἄκρου ἀρχιερέως, γενομένη τῇ ια'. Ὀκτωβρίου μηνὸς ͵αφνα'.

Δόγμα περὶ τοῦ ἁγιωτάτου μυστηρίου τῆς Εὐχαριστίας.

Ἡ ἱερὰ καὶ ἁγία οἰκουμενικὴ ἐν Τριδέντῳ σύνοδος ἐν πνεύματι ἁγίῳ νομίμως συνελθοῦσα, προεδρευόντων ἐν αὐτῇ τῶν αὐτῶν τῆς ἀποστολικῆς καθέδρας Λεγάτου τε καὶ Νουγκίων, καίπερ ἐπὶ τούτῳ οὐκ ἄνευ τῆς τοῦ ἁγίου πνεύματος ἡγεμονείας τε καὶ κυβερνήσεως συνεληλυθυῖα, ὥστε τὴν ἀρχαίαν καὶ ἀληθινὴν περὶ τῆς πίστεως καὶ τῶν τῆς ἐκκλησίας μυστηρίων διδασκαλίαν ἐκτεθῆναι, καὶ κατὰ πασῶν τῶν αἱρέσεών τε καὶ τῶν ἄλλων δυσχερῶν οἷς κατὰ τὸ παρὸν ἡ τοῦ θεοῦ ἐκκλησία χαλεπῶς κακοῦταί τε καὶ εἰς πολλὰ καὶ διάφορα μέρη σχίζεται, θεραπείαν προσενεγκεῖν, ὅμως ἐκεῖνο μάλιστα εὐθὺς ἐξ ἀρχῆς ἐν εὐχαῖς ἔχει, τὸ προρρί-

ζως τὰ τῆς καταράτου πλάνης καὶ τῶν σχισμάτων ζιζάνια ἀνασπασθῆναι, ἅπερ ὁ ἐχθρὸς ἐν τοῖς καθ' ἡμᾶς δεδυστυχημένοις τούτοις χρόνοις τῇ τε τῆς πίστεως διδασκαλίᾳ καὶ τῇ χρήσει καὶ λατρείᾳ τῆς ἱερᾶς καὶ ἁγίας εὐχαριστίας ἐγκατέσπειρεν. ἐπεὶ ὅμως ὁ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς ὡς σύμβολον τῆς ἑνότητός τε καὶ ἀγάπης ἐκείνης ᾗ πάντας τοὺς χριστιανοὺς πρὸς ἀλλήλοις συνεζεῦχθαι καὶ συνδεδέσθαι ἠθέλησεν ἐν τῇ ἑαυτοῦ ἐκκλησίᾳ κατέλιπε. τοιγαροῦν ἡ αὐτὴ ἁγία σύνοδος τὴν ὑγιᾶ καὶ εἰλικρινῆ περὶ τοῦ σεβασμίου καὶ θείου τῆς ἁγίας εὐχαριστίας μυστηρίου διδασκαλίαν ἐκείνην παραδιδοῦσα, ἣν διὰ παντὸς ἡ καθολικὴ ἐκκλησία ὑπ' αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων αὐτοῦ, καὶ τοῦ καθ' ἡμέραν αὐτῇ πᾶσαν ἀλήθειαν ὑπαγορεύοντος ἁγίου πνεύματος παραδοθεῖσά τε καὶ διδαχθεῖσα κατέχει τε καὶ ἄχρις εἰς τέλος τοῦ αἰῶνος διατηρήσει, πᾶσι τοῖς ἐν Χριστῷ πιστοῖς ἀπαγορεύει ἵνα μηδεὶς τοῦ λοιποῦ περὶ τῆς ἁγιωτάτης εὐχαριστίας ἄλλως ἢ καθὼς διὰ τοῦ παρόντος τούτου δόγματος ἐκτέθειταί τε καὶ διώρισται, τολμήσῃ ποτὲ πιστεύειν ἢ διδάσκειν ἢ κηρύττειν.

Περὶ τοῦ πραγματικῶς καὶ καθ' ὕπαρξιν παρεῖναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ ἁγιωτάτῳ μυστηρίῳ τῆς εὐχαριστίας. κεφ. ά.

Πρῶτον διδάσκει ἡ ἁγία σύνοδος, ἁπλῶς τε καὶ διαῤῥήδην ὁμολογεῖ, ὅτι ἐν τῷ ζωοποιῷ τῆς ἁγίας εὐχαριστίας μυστηρίῳ μετὰ τὴν τοῦ ἄρτου καὶ τοῦ οἴνου καθιέρωσιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς θεὸς καὶ ἄνθρωπος ὑπὸ τοῖς τῶν αἰσθητῶν πραγμάτων ἐκείνων εἴδεσιν ἀληθινῶς πραγματικῶς καὶ οὐσιωδῶς περιέχεται. οὐδὲ γὰρ μάχεται ταῦτα ἀλλήλοις, τὸ τὸν σωτῆρα αὐτὸν διαπαντὸς ἐν δεξιᾷ παρακαθῆσθαι τοῦ πατρὸς ἐν τοῖς οὐρανοῖς κατὰ τὸν τρόπον τοῦ φυσικῶς ὑπάρχειν, καὶ οὐδὲν ἧττον ἐν πολλοῖς ἄλλοις τόποις

μυστηριακῶς παρόντα τῇ ἑαυτοῦ οὐσίᾳ ἡμῖν συνεῖναι, ὑπάρξεως λόγῳ τοιούτῳ τρόπῳ τινὶ, ὃν εἰ καὶ τοῖς ῥήμασι μόλις ἐκφράσαι δυνάμεθα, δυνατὸν ὅμως ἐστὶ τῇ θεῷ πεφωτισμένῃ διὰ πίστεως διανοίᾳ καταλαμβάνειν τε δυνάμεθα καὶ εὐσταθέστατα πιστεύειν ὀφείλομεν. οὕτω γὰρ οἱ προγεγονότες ἡμῶν πάντες ὅσοι ἐν τῇ ἀληθινῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ περὶ τοῦ ἁγιωτάτου μυστηρίου τούτου διελέχθησαν, περιφανέστατα ὡμολόγησαν, ὅτι ὁ λυτρωτὴς ἡμῶν Χριστὸς ἐν τῷ ἐσχάτῳ δείπνῳ τὸ θαυμάσιον τοῦτο μυστήριον διέταξεν, ὅτε μετὰ τὴν ἄρτου καὶ οἴνου εὐλογίαν αὐτὸς τὸ ἴδιον αὐτοῦ σῶμα τε καὶ τὸ ἴδιον αἷμα ῥήμασι τρανέσι τε καὶ ἐναργέσιν ἐκείνοις παρέχειν διεμαρτύρατο. ἃ δὴ ῥήματα ὑπὸ τῶν ἁγίων εὐαγγελιστῶν ἀπομνημονευθέντα, ὕστερόν τε ὑπὸ τοῦ θείου Παύλου δευτερολογηθέντα, ἐνδεικνύμενά τε τὴν κυριωτάτην καὶ περιφανεστάτην ἐκείνην σημασίαν, καθ' ἣν ὑπὸ τῶν πατέρων ἐξελήφθησαν, δυσαναχετώτατον δήπου κακούργημα ἐστὶ τὸ εἰς πεπλασμένας καὶ φανταστιώδεις τροπὰς, αἷς ἡ τοῦ κυριακοῦ σώματος καὶ αἵματος ἀθετεῖται ἀλήθεια, ὑπὸ φιλονείκων καὶ πονηρῶν τινων ἀνθρώπων διαστρέφεσθαι παρὰ τὸν καθόλου νοῦν τῆς ἐκκλησίας. ἥτις ἅτε δὴ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας τὰ ὑπὸ τῶν ἀσεβῶν ἀνθρώπων τούτων ἐπινενοημένα σοφίσματα ταῦτα ὡς σατανικὰ ἐβδελύξατο, εὐχαρίστῳ πάντοτε καὶ μνήμονι γνώμῃ τὸ κράτιστον τοῦτο τοῦ Χριστοῦ εὐεργέτημα ἐπιγινώσκουσα.

Τίνι λόγῳ διετάχθη τὸ ἁγιώτατον τοῦτο μυστήριον. κεφ. β'.

Ὁ τοίνυν ἡμέτερος σωτὴρ μεταβήσων ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, τὸ μυστήριον τοῦτο ἐνομοθέτησεν, ἐν ᾧ τὰ πλούτη τῆς πρὸς τοὺς ἀνθρώπους θείας αὐτοῦ ἀγάπης οἱονεὶ ἐξέχεε, μνείαν ποιούμενος τῶν θαυμασίων αὐτοῦ, καὶ ἐν τῇ ἐκείνου μεταλήψει τὸ ἑαυτοῦ μνημόσυνον σέβεσθαι ἡ-

μῖν ἐνετείλατο, καὶ τὸν ἑαυτοῦ καταγγέλλειν θάνατον, ἄχρις οὗ ἂν αὐτὸς ἔλθῃ κρίναι τὸν κόσμον. Μεταλαμβάνεσθαι δὲ τὸ μυστήριον τοῦτο ἠθέλησεν, ὡς πνευματικὸν βρῶμα τῶν ψυχῶν ᾧ τρέφοιντο καὶ κρατύνοιντο οἱ τῇ ζωῇ ζῶντες ἐκείνου, ὃς εἶπε τὸ, ὁ ἐσθίων με καὶ αὐτὸς ζήσει δι' ἐμέ, ἔτι δὲ καὶ ὡς ἀντίδοτον, ᾧ τῶν καθ' ἡμέραν πταισμάτων λυτρωθείημεν καὶ ἀπὸ τῶν θανασίμων ἁμαρτημάτων προφυλαχθείημεν. παρὰ δὲ ταῦτα ἐνέχυρον τῆς μελλούσης ἡμῶν δόξης καὶ ἀϊδίου μακαριότητος τοῦτ' εἶναι ἠθέλησε, καὶ σύμβολον δὴ τοῦ ἑνὸς ἐκείνου σώματος οὗ αὐτός ἐστι κεφαλὴ καὶ ᾧ ἡμᾶς ἅτε μέλη οἰκειοτάτῃ πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης συναφείᾳ συνεσφίχθαι ἠθέλησε, ὥστε τὸ αὐτὸ πάντας ἡμᾶς λέγειν, καὶ μὴ εἶναι ἐν ἡμῖν σχίσματα.

Περὶ τῆς ὑπὲρ τὰ ἄλλα μυστήρια ὑπεροχῆς τῆς ἁγιωτάτης εὐχαριστίας. κεφ. γ'.

Κοινὸν μὲν οὖν ἔχει πρὸς τ' ἄλλα μυστήρια ἡ ἁγιωτάτη εὐχαριστία τὸ, σύμβολον εἶναι ἱεροῦ τινὸς πράγματος, καὶ ἀοράτου χάριτος ὁρατὸν τύπον. οὐ μὴν ἀλλ' ἐκεῖνο ἐν αὐτῇ ὑπερέχον καὶ μονώτατον εὑρίσκεται, ὅτι τὰ μὲν ἄλλα μυστήρια τότε πρῶτον τοῦ ἁγιάζειν ἔχει δύναμιν, ὁπόταν τις αὐτοῖς χρῆται, ἐν δέ γε τῇ εὐχαριστίᾳ αὐτὸς ὁ τῆς ἁγιωσύνης ἀρχηγὸς πρὸ τῆς χρήσεως ὑπάρχει. οὔπω γὰρ ἐκ τῆς τοῦ δεσπότου χειρὸς τῆς εὐχαριστίας οἱ ἀπόστολοι μετειλήφεισαν, ὅτε ὅμως αὐτὸς ἀληθινῶς τὸ ἑαυτοῦ σῶμα εἶναι ὃ παρεῖχε διεβεβαιοῦτο. ἀεί τε ἡ πίστις αὕτη ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ὑπῆρξε, ὅτι εὐθὺς μετὰ τὴν καθιέρωσιν τὸ ἀληθινὸν τοῦ κυρίου ἡμῶν σῶμα καὶ τὸ ἀληθινὸν αὐτοῦ αἷμα ὑπὸ τοῖς τοῦ ἄρτου καὶ τοῦ οἴνου εἴδεσι σὺν τῇ ψυχῇ αὐτοῦ καὶ τῇ θεότητι ὑπάρχει. ἀλλ' ὑπὸ μὲν τῷ τοῦ ἄρτου εἴδει τὸ σῶμα, καὶ ὑπὸ τῷ τοῦ οἴνου τὸ αἷμα, ἐκ τῆς τῶν ῥημάτων δυνάμεως. αὐτὸ δέ γε τὸ σῶμα ὑπὸ τῷ εἴδει τοῦ οἴνου, καὶ τὸ αἷμα ὑπὸ τῷ τοῦ ἄρτου, καὶ

ἡ ψυ-

ἡ ψυχὴ ὑπὸ ἑκατέρῳ, τῇ τῆς φυσικῆς ἐκείνης συναφείας τε καὶ συμπαρακολουθήσεως δυνάμει, ᾗ τὰ μέρη τοῦ δεσπότου Χριστοῦ τοῦ ἐκ νεκρῶν ἀναστάντος καὶ μηκέτι ποτὲ τεθνηξομένου πρὸς ἑαυτὰ συνάπτονται. ἡ δέ γε θεότης διὰ τὴν θαυμασίαν ἐκείνην αὐτοῦ μετὰ τοῦ σώματος καὶ τῆς ψυχῆς ὑποστατικὴν ἕνωσιν. διόπερ ἀληθέστατόν ἐστιν τοσοῦτον ἀπαρτὶ συνέχεσθαι ὑφ' ὁποτερωοῦν τῶν εἰδῶν, ὅσον ὑπ' ἀμφοτέροις. ὁλοτελὴς γὰρ καὶ ὁλόκληρος ὁ Χριστὸς ὑπὸ τῷ τοῦ ἄρτου εἴδει καὶ ὑφ' ὁποιαδήποτε αὐτοῦ τοῦ εἴδους μερίδι. ἔτι δὲ ὅλος ὑπὸ τῷ τοῦ οἴνου εἴδει, καὶ ὑπὸ τοῖς αὐτοῦ μερίσιν ὑπάρχει.

Περὶ τῆς μετουσιώσεως εἴτε μεταστοιχειώσεως.

κεφ. δ΄.

Ἐπεὶ δὲ Χριστὸς ὁ λυτρωτὴς ἡμῶν ἀληθινῶς ἑαυτοῦ σῶμα εἶναι εἶπεν ὃ ὑπὸ τῷ τοῦ ἄρτου εἴδει προσέφερε, διὰ τοῦτο ἀεί ποτε ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ πεπίστευται, ὃ καὶ νῦν ἐκ καινῆς ἡ ἁγία σύνοδος αὕτη διασαφεῖ, ὅτι διὰ τῆς καθιερώσεως τοῦ τε ἄρτου καὶ τοῦ οἴνου, μεταποίησις γίνεται ὅλης τῆς τοῦ ἄρτου οὐσίας εἰς τὴν οὐσίαν τοῦ σώματος τοῦ δεσπότου Χριστοῦ, καὶ ὅλης τῆς τοῦ οἴνου οὐσίας εἰς τὴν οὐσίαν τοῦ αἵματος αὐτοῦ. ἥτις δὴ μεταποίησις προσηκόντως ἅμα καὶ κυρίως μετουσίωσις ὑπὸ τῆς ἁγίας καθολικῆς ἐκκλησίας προσηγόρευται.

Περὶ τῆς λατρείας καὶ τῆς προσκυνήσεως ἣν δεῖ τῷ ἁγιωτάτῳ μυστηρίῳ τούτῳ προσφέρειν.

κεφ. ε.

Οὐδεὶς οὖν δισταγμοῦ καταλείπεται τόπος μὴ οὐ πάντας τοὺς ἐν Χριστῷ πιστοὺς κατὰ τὸ διὰ παντὸς ἐν τῇ καθολικῇ ἐκκλησίᾳ παραδεχθὲν ἔθος δεῖν τὴν τῷ ἀληθινῷ θεῷ ὀφειλομένην λατρείας θεραπείαν τῷ ἁγιωτάτῳ μυστηρίῳ τούτῳ καὶ τὴν προσκύνησιν προσενεγκεῖν. οὐ γὰρ δή που διὰ τοῦθ' ἧττόν προσκυνητέον ἐστὶν, ὅτι πρὸς τὸ μεταλαμβάνεσθαι ὑπὸ τοῦ δεσπότου Χριστοῦ διετάχθη. τὸν γὰρ αὐτὸν ἐκεῖ-

ἐκεῖνον θεὸν παρόντα ἐν αὐτῷ παρεῖναι πιστεύομεν, ὃν ὁ αἰώνιος πατὴρ εἰσάγων εἰς τὴν οἰκουμένην, λέγει. καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. ὃν οἱ μάγοι πεσόντες προσεκύνησαν. καὶ τέλος, ὃν ἐν τῇ Γαλιλαίᾳ ὑπὸ τῶν ἀποστόλων προσκυνηθῆναι ἡ γραφὴ μαρτυρεῖ.

Διασαφεῖ δὲ παρὰ ταῦτα ἡ ἁγία σύνοδος ὅτι εὐσεβῶς καὶ ὁσίως πάνυ ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ εἰσηνέχθη τὸ ἔθος τοῦτο, ἵνα καθ' ἕκαστον ἔτος περιουσίῳ τινὶ καὶ ἑορτασίμῳ ἡμέρᾳ τὸ ὑπερφερὲς καὶ σεβάσμιον τοῦτο μυστήριον ἐξαιρέτῳ προσκυνήσει καὶ πανηγύρει ἑορτάζηται, ἵνα τε ἐν προπομπικαῖς προσόδοις εὐλαβῶς ἅμα καὶ μεγαλοπρεπῶς κατὰ τὰς ὁδοὺς καὶ τοὺς δημοσίους τόπους ἑκάστης πόλεως περιφέρηται. ἐπιεικέστατον γάρ ἐστιν ἱερὰς τινὰς ἡμέρας ἀποτετάχθαι, καθ' ἃς οἱ χριστιανοὶ πάντες ἐξόχῳ καὶ ὑπερβολικῇ τινι ἐνδείξει τὸ τῆς γνώμης αὐτῶν εὐχάριστον καὶ μνημονικὸν μαρτυρήσωσι τῷ κοινῷ δεσπότῃ καὶ λυτρωτῇ ὑπὲρ τοῦ οὕτως ἀρρήτου καὶ μέντοι θείου εὐεργετήματος, δι' οὗ ἡ τοῦ θανάτου αὐτοῦ νίκη τε καὶ θρίαμβος ἀποκαθιστάνεται. οὕτω δὲ καὶ ἐδέησε νικῶσαν τὴν ἀλήθειαν κατὰ τοῦ ψεύδους καὶ τῆς αἱρέσεως θριαμβεῦσαι, ὅπως οἱ αὐτῆς ἀντίπαλοι κατενώπιον τοσαύτης λαμπηδόνος ἐν τοσαύτῃ συμπάσης τῆς ἐκκλησίας χαρᾷ σταθέντες ἢ μαρανθῶσι ναρκήσαντές τε καὶ κοπωθέντες, ἢ αἰδεσθέντες τε καὶ καταισχυνθέντες, ἀνανήψωσί ποτε.

Περὶ τοῦ διατηρεῖσθαι τὴν ἱερὰν εὐχαριστίαν, καὶ πρὸς τοὺς ἀσθενοῦντας κομίζεσθαι. κεφ. ϛʹ.

Τὸ τοῦ διατηρεῖσθαι ἐν ἱεροθήκῃ τὴν ἁγίαν εὐχαριστίαν ἔθος οὕτω δὴ ἀρχαῖόν ἐστιν, ὥστε καὶ τοὺς κατὰ χρόνον τῆς ἐν Νικαίᾳ συνόδου ἐγνωκέναι. τὸ δέ γε πρὸς τοὺς ἀσθενοῦντας αὐτὴν κομίζεσθαι, καὶ εἰς τὴν χρῆσιν ταύτην ἀκριβῶς ἐν ταῖς ἐκκλησίαις φυλάττεσθαι, χωρὶς τοῦ ὅτι μάλιστα ἐπιει-

κές τε καὶ εὔλογον εἶναι, ἔτι καὶ ἐν πολλαῖς συνόδοις παρηγγελμένον εὑρίσκεται, καὶ ἀρχαιοτάτῳ ἔθει τῆς καθολικῆς ἐκκλησίας παρατετήρηται. διὸ καὶ κρατητέον εἶναι πάντως τὸ σωτήριον καὶ ἀναγκαῖον ἔθος τοῦτο ἡ ἁγία σύνοδος αὕτη καθίστησι.

Πῶς ὀφείλει προπαρασκευάζεσθαι ὁ μέλλων ἀξίως μεταλαμβάνειν τῆς ἱερᾶς Εὐχαριστίας. κεφ. ζ'.

Απρεποῦς ὄντος τοῦ ἐπὶ ὁποιανοῦν ἱερὰν ἐργασίαν προσέρχεσθαί τινα εἰ μὴ ἁγίως, ὅσῳ δήπου μᾶλλον ἡ τοῦ οὐρανίου μυστηρίου τούτου ἁγιωσύνη τε καὶ θειότης χριστιανῷ ἀνθρώπῳ καταπέφανται, τοσοῦτον ἐπιμελέστερον αὐτῷ φυλακτέον ἐστὶ, ὅπως μὴ χωρὶς μεγάλης εὐλαβείας καὶ ἁγιασμοῦ πρὸς τὸ τούτου μεταλαβεῖν προσέρχηται, καὶ ταῦτα ἀναγινώσκοντι τὰ τοῦ ἀποστόλου φοβερὰ ἐκεῖνα ῥήματα. ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. διόπερ ὁ κοινωνεῖν βουλόμενος, ἀναμιμνήσκεσθαι ὀφείλει τῆς ἐκείνου ἐντολῆς. δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν. ἡ δὲ τῆς ἐκκλησίας συνήθεια τοιαύτην τινὰ δοκιμὴν ἀναγκαίαν εἶναι ἀποφαίνει, ἵνα μηδεὶς ὃς θανάσιμον ἁμαρτίαν ἑαυτῷ συνειδῇ, κἂν ὁπωσοῦν συντετριμμένος αὐτὸς ἑαυτῷ δόξῃ, χωρὶς προηγησαμένης τῆς μυστηριακῆς ἐξομολογήσεως τῇ ἱερᾷ εὐχαριστίᾳ ὀφείλῃ προσέρχεσθαι. ὃ δὴ τοῖς χριστιανοῖς πᾶσι καὶ αὐτοῖς ἔτι μὴν τοῖς ἱερεῦσιν, οἷς κατὰ τὴν ἐγχειρισθεῖσαν αὐτοῖς διακονίαν ἐπίκειται τὸ λειτουργεῖν, ἡ ἁγία σύνοδος αὕτη διηνεκῶς φυλακτέον εἶναι διέταξεν. καὶ τοῦτο μὲν, ἐὰν μήποτε ἐκεῖνοι ἐν ἀπορείᾳ τύχωσι τοῦ λεγομένου ὁμολογητοῦ. ἐὰν δέποτε ἀνάγκης τινὸς κατεπειγούσης χωρὶς προηγησαμένης ἐξομολογήσεως λειτουργήσῃ ὁ ἱερεὺς, ὅταν πρῶτον ἐξῇ, ἐξομολογησάσθω.

Περὶ τῆς τοῦ θαυμασίου μυστηρίου τούτου χρήσεως. κεφ. η΄.

Τὸ δέ γε εἰς τὴν χρῆσιν, ὀρθῶς καὶ φρονίμως οἱ πατέρες ἡμῶν τρισὶ τρόποις τὴν τοῦ ἁγίου μυστηρίου τούτου μετάληψιν διείλοντο. τινὰς μὲν γὰρ μυστηριακῶς μόνον τούτου μεταλαμβάνειν ἐδίδαξαν, οἷον τοὺς ἁμαρτωλούς. ἄλλους δέ τινας πνευματικῶς μόνον, ἐκείνους δηλαδὴ οἳ κατ᾽ εὐχὴν προστεθέντα τὸν οὐράνιον ἄρτον ἐκεῖνον ἐσθίοντες ζώσῃ πίστει τῇ δι᾽ ἀγάπης ἐνεργουμένῃ, τῆς ἐξ αὐτοῦ καρπώσεως καὶ ὠφελείας αἰσθάνονται. τρίτους δέ γε ἄλλους μυστηριακῶς τε ἅμα καὶ πνευματικῶς. οὗτοι δέ εἰσιν οἱ πρότερον οὕτως ἑαυτοὺς δοκιμάζουσί τε καὶ διασκευάζουσιν, ὥστε ἔνδυμα γάμου ἔχοντας τῇ θείᾳ τραπέζῃ ταύτῃ προσέρχεσθαι. ἐν μὲν οὖν τῇ μυστηριακῇ μεταλήψει ἀεί ποτε ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ σύνηθες ὑπῆρξε τὸ, τοὺς μὲν λαϊκοὺς ὑπὸ τῶν ἱερέων τῆς κοινωνίας μεταλαμβάνειν, τοὺς δὲ ἱερέας λειτουργοῦντας αὐτοὺς δι᾽ ἑαυτῶν κοινωνίας μεταλαβεῖν. ἣν δὴ συνήθειαν ἅτε δὴ ἐξ ἀποστολικῆς παραδόσεως κατιοῦσαν ἄξιον καὶ δίκαιον ἐστὶ κρατεῖσθαι τε καὶ κατέχεσθαι. λοιπὸν δὴ πατρικῇ διαθέσει παραινεῖ ἡ ἁγία σύνοδος, παρακαλεῖ τε καὶ δέεται καὶ ἀντιβολεῖ διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν ἕνα ἕκαστον καὶ ὁμοῦ πάντας τοὺς ἀπὸ Χριστοῦ κεκλημένους, ἵνα ἐν τούτῳ τῷ τῆς ἑνότητος σημείῳ, ἐν τούτῳ τῷ τῆς ἀγάπης συνδέσμῳ, ἐν τούτῳ τῷ τῆς ὁμονοίας συμβόλῳ ἤδη ποτὲ συνῄθωσί τε καὶ ὁμονοήσωσι. μνημονεύοντές τε τῆς τηλικαύτης μεγαλειότητος καὶ τῆς οὕτως ὑπερφυοῦς ἀγάπης ᾗ ἡμᾶς ἠγάπησεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὃς τήν τε ἠγαπημένην αὐτοῦ ψυχὴν εἰς τιμὴν τῆς σωτηρίας ἡμῶν, καὶ τὴν ἑαυτοῦ σάρκα εἰς βρῶσιν ἔδωκεν ἡμῖν, τοιαύτῃ πίστεως εὐσταθείᾳ τε καὶ ἑδραιότητι, τοιαύτῃ ψυχῆς ὁσιότητι, τοιαύτῃ εὐσεβείᾳ τε καὶ λατρείᾳ τὰ ἅγια μυστήρια τοῦ σώματος καὶ αἵματος

αὐτοῦ

αὐτῷ πιστεύωσί τε καὶ σεβάζωνται, ἵνα τοῦ ὑπερουσίου ἐκείνου ἄρτου συχνάκις μεταλαβεῖν δυνηθῶσιν. ὃς ἐστί τε αὐτοῖς τῶν τε ψυχῶν ἀληθινὴ ζωὴ, καὶ τοῦ νοὸς διηνεκὴς ὑγεία ὑπάρχῃ, καὶ τῇ δυνάμει τούτου στηριχθέντες, ἐκ τῆς ὁδοιπορείας τῆς ταλαιπώρου ξενιτείας ταύτης εἰς τὴν οὐράνιον πατρίδα ἀφικέσθαι ἰσχύωσι. τὸν αὐτὸν τῶν ἀγγέλων ἄρτον, ὃν νῦν ὑπὸ τοῖς ἱεροῖς καλύμμασιν ἐσθίουσιν, ἀπαρακαλύπτως τότε φαγούμενοι. ἐπεὶ δὲ οὐκ ἀρκεῖ τό, τ' ἀληθῆ μόνον λέγειν, εἰ μὴ καὶ τὴν πλάνην ἀποκαλύψῃ τις καὶ ἀνατρέψῃ, ἤρεσε τῇ ἁγίᾳ συνόδῳ τοὺς ὑπογεγραμμένους κανόνας ἐπισυνάψαι. ἵνα πάντες ἤδη γνωσθείσης τῆς καθολικῆς διδασκαλίας, ἔτι ἐπιγνῶσι τίνας αἱρέσεις ἐκκλίνειν τε καὶ φυλάττεσθαι ὀφείλουσι.

ΠΕΡΙ ΤΟΥ ΙΕΡΟΥ ΚΑΙ ΑΓΙΟΥ ΤΗΣ εὐχαριστίας μυστηρίου. Κανὼν α΄.

Ἐάν τις ἀρνήσηται μὴ οὐκ ἀληθινῶς πραγματικῶς καὶ οὐσιωδῶς ἐν τῷ τῆς ἁγιωτάτης εὐχαριστίας μυστηρίῳ συνέχεσθαι τό, τε σῶμα καὶ τὸ αἷμα μετὰ καὶ τῆς ψυχῆς καὶ τῆς θειότητος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τοῦτο τὸν Χριστὸν ὅλον, ἀλλ' εἴπῃ ἐν αὐτῷ ὡς ἐν σημείῳ μόνον εἶναι ἢ τύπῳ ἢ δυνάμει, ἀνάθεμα ἔστω. Κανὼν β΄.

Ἐάν τις εἴπῃ ἐν τῷ ἱερῷ καὶ ἁγίῳ τῆς εὐχαριστίας μυστηρίῳ διαμένειν τήν τε τοῦ ἄρτου καὶ τὴν τοῦ οἴνου οὐσίαν ὁμοῦ μετὰ τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀρνήσηταί τε τὴν θαυμασίαν ἐκείνην καὶ ἐξαίρετον μεταβολὴν τῆς ὅλης οὐσίας τοῦ ἄρτου εἰς τὸ σῶμα, καὶ τῆς ὅλης οὐσίας τοῦ οἴνου εἰς τὸ αἷμα, διαμενόντων τῶν εἰδῶν μόνον τοῦ τε ἄρτου καὶ τοῦ οἴνου, ἣν τινα μεταποίησιν πάνυ προσηκόντως ἡ καθολικὴ ἐκκλησία μετουσίωσιν ὀνομάζει, ἀνάθεμα ἔστω.

Κανὼν γ΄.

Ἐάν τις ἀρνήσηται μὴ οὐκ ἐν τῷ σεβασμίῳ μυστηρίῳ τῆς εὐχαριστίας ὑπὸ ἑκάστῳ εἴδει, καὶ ἑκάστου εἴδους ἑκάστῃ μερίδι διαιρέσεως γενομένης, ὅλον τὸν Χριστὸν συνέχεσθαι, ἀνάθεμα ἔστω.

Κανὼν δ΄.

Ἐάν τις εἴπῃ ὅτι μετὰ τὸ ἀποτελεσθῆναι τὴν καθιέρωσιν ἐν τῷ θαυμασίῳ μυστηρίῳ τῆς εὐχαριστίας, οὐκ ἐνυπάρχει τό, τε σῶμα καὶ τὸ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλὰ μόνον κατὰ τὴν χρῆσιν ἐν ᾧ μεταλαμβάνεται, οὐκ ἔτι δὲ καὶ πρότερον, ἢ ὕστερον. ἔτι δὲ μὴν ἐν ταῖς καθιερωμέναις μερίσι, ταῖς μετὰ τὴν κοινωνίαν διατηρουμέναις ἢ περισσευσάσαις, μὴ διαμένειν τὸ ἀληθινὸν σῶμα τοῦ δεσπότου, ἀνάθεμα ἔστω.

Κανὼν ε΄.

Ἐάν τις εἴπῃ ἢ ὅτι προηγούμενος καρπὸς τῆς ἁγίας εὐχαριστίας ἐστὶν ἡ τῶν ἁμαρτιῶν ἄφεσις, ἢ ὅτι ἀπ᾽ αὐτῆς οὐδὲν ἄλλο ἔργον ἀποτελεῖται, ἀνάθεμα ἔστω.

Κανὼν ϛ΄.

Ἐάν τις εἴπῃ μὴ προσκυνητέον εἶναι προσκυνήσει λατρείας ἔτι μὴν τῇ ἔξω Χριστὸν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ ἐν τῷ ἁγίῳ εὐχαριστίας μυστηρίῳ, καὶ διὰ τοῦτο μήτε περιουσίῳ ἑορτασίμῳ πανηγύρει σεβαστέον εἶναι, μήτε πομπικαῖς προόδοις κατὰ τὴν ἀξιέπαινον καὶ καθολικὴν τῆς ἁγίας ἐκκλησίας συνήθειαν ἐθίμῳ εὐλαβεῖ περιφορητέον, ἢ μὴ χρῆναι δημοσίᾳ εἰς προσκύνησιν τῷ λαῷ προτιθέναι, καὶ τοὺς ταύτης προσκυνητὰς, εἰδωλολάτρεας εἶναι, ἀνάθεμα ἔστω.

Κανὼν ζ΄.

Ἐάν τις εἴπῃ μὴ ἐξεῖναι τὴν ἱερὰν εὐχαριστίαν ἐν ἱερωθήκῃ φυλάττειν, ἀλλὰ παραυτίκα μετὰ τὴν καθιέρωσιν ἐξ ἀνάγκης τοῖς παρεστῶσι δεῖν διαδίδοσθαι, ἢ μὴ ἐξεῖναι σεμνοπρεπῶς αὐτὴν πρὸς τοὺς νοσοῦντας κομίζειν, ἀνάθεμα ἔστω.

Κανὼν η΄.

Ἐάν τις εἴπῃ τὸν Χριστὸν ἐν τῇ εὐχαριστίᾳ προσενεχθέντα

πνευ-

πνευματικῶς μόνον ἐσθίεσθαι, μηκέτι δὲ καὶ μυστηριακῶς καὶ πραγματικῶς, ἀνάθεμα ἔστω. Κανὼν θ΄.

Εάν τις ἀρνήσηται πάντας καὶ ἑκάστους τοὺς ἐν Χριστῷ πιστοὺς ἄῤῥενά τε καὶ θήλειαν, ἐπὰν ἐς τὰ τῆς διακρίσεως ἔτη ἀφίκηται, μὴ ἐνέχεσθαι καὶ ὀφείλειν ἐπάναγκες καθ' ἕκαστον ἔτος, κἂν γοῦν κατὰ τὸ πάσχα κοινωνεῖν κατὰ τὴν ἐπιταγὴν τῆς ἁγίας καθολικῆς μητρὸς ἐκκλησίας, ἀνάθεμα ἔστω. Κανὼν ι΄.

Εάν τις εἴπη μὴ ἐξεῖναι τῷ ἱερεῖ λειτουργοῦντι, δι' ἑαυτοῦ τῆς κοινωνίας μεταλαβεῖν, ἀνάθεμα ἔστω.

Κανὼν ια΄.

Εάν τις εἴπη τὴν πίστιν μόνην ἱκανὴν προπαρασκευὴν εἶναι πρὸς τὸ τοῦ μυστηρίου τῆς ἁγιωτάτης εὐχαριστίας μεταλαμβάνειν, ἀνάθεμα ἔστω.

Καὶ ἵνα μὴ τὸ μέγα τοῦτο μυστήριον ἀναξίως καὶ διὰ τοῦτο εἰς θάνατον καὶ κατάκρισιν μεταλαμβάνηται, ὁρίζει καὶ διασαφεῖ ἡ αὐτὴ ἁγία σύνοδος τοῖς θανασίμῳ τινὶ ἁμαρτήματι τὴν συνείδησιν βαρυνομένοις, κἂν ὁποσονοῦν ἑαυτοὺς συντετριμμένους οἴωνται εἶναι, ἀδείας τοῦ λεγομένου ὁμολογητοῦ γινομένης, ἐξ ἀνάγκης τὴν μυστηριακὴν ἐξομολόγησιν προηγητέαν εἶναι. ἐὰν δέ τις τἀναντία τούτων διδάσκειν ἢ κηρύττειν ἢ ἀνενδότως διαβεβαιοῦσθαι ἢ καὶ δημοσίᾳ διαλεγόμενος συνιστάναι ἀπαυθαδιάσηται, αὐτόθεν ἀφωρισμένος ἔστω.

ΠΡΑΞΙΣ

ΠΡΑΞΙΣ ΙΔ΄. ΗΤΙΣ ΕΣΤΙ ΤΕΤΑΡΤΗ τῶν ἐπὶ Ἰουλίου τρίτου ἄκρου ἀρχιερέως, γενομένη τῇ κε΄. ἡμέρᾳ Νοεμβρίου μηνὸς ͵αφνα΄.

Διδασκαλία περὶ τῶν ἁγιωτάτων μυστηρίων τοῦ τε τῆς μετανοίας, καὶ τοῦ τῆς τελευταίας χρίσεως.

Ἡ ἱερὰ καὶ ἁγία οἰκουμενικὴ ἐν Τριδέντῳ σύνοδος, ἐν πνεύματι ἁγίῳ νομίμως συνελθοῦσα, προεδρευόντων ἐν αὐτῇ τῶν αὐτῶν τῆς ἀποστολικῆς καθέδρας Ληγάτου τε καὶ Νουγκίων, κἂν ἐν τῷ περὶ τῆς δικαιώσεως δόγματι πολλήν τινα περὶ τοῦ τῆς μετανοίας μυστηρίου ἀναγκαίῳ τινὶ λόγῳ διὰ τὴν τῶν χωρίων συγγένειαν παρενέθηκε λόγον, τοσοῦτον ὅμως ἐστὶν ἐν τοῖς καθ᾽ ἡμᾶς τούτοις χρόνοις τῆς περὶ ταῦτα πλάνης τὸ πολυσχιδὲς, ὥστε οὐκ ὀλίγον ἂν κοινῇ πᾶσι διαφέροι ἀκριβέστερον καὶ πληρέστερον περὶ αὐτοῦ παραδοθῆναι διορισμὸν, ἐν ᾧ τῇ βοηθείᾳ τοῦ ἁγίου πνεύματος καταμηνυθείσης καὶ ἀνασπασθείσης τῆς πλάνης ἁπάσης, ἡ καθολικὴ ἀλήθεια φανερὰ καὶ διαυγὴς γένοιτο. ὃν νῦν ἡ ἁγία αὕτη σύνοδος πᾶσι τοῖς χριστιανοῖς ἀϊδίως διατηρηθησόμενον προτίθησι.

Περὶ τῆς ἀνάγκης καὶ τῆς νομοθετήσεως τοῦ τῆς μετανοίας μυστηρίου. κεφ. α΄.

Εἰ τοιαύτη τις ἦν ἐν τοῖς διὰ τοῦ βαπτίσματος ἀναγεννηθεῖσιν ἅπασι πρὸς τὸν θεὸν εὐγνωμοσύνη ὥστε τὴν ἐν τῷ βαπτίσματι τῇ ἐκείνου χάριτι καὶ εὐεργεσίᾳ παραδεδεγμένην δικαιοσύνην σταθερῶς διαφυλάττειν, οὐχ ἕτερον παρ᾽ αὐτὸ τὸ βάπτισμα μυστήριον εἰς τὴν τῶν ἁμαρτιῶν ἄφεσιν νενομοθετῆσθαι ἂν ἐδέησεν, ἀλλ᾽ ἐπεὶ ὁ πλούσιος ἐν οἰκτιρμοῖς θεὸς αὐτὸς ἔγνω ἡμῶν τὸ πλάσμα, διὰ τοῦτο καὶ αὐτοῖς

τοῖς

τοῖς μετὰ τὸ βάπτισμα τῇ τῆς ἁμαρτίας δουλοσύνῃ καὶ τῇ ἐξουσίᾳ τοῦ διαβόλου ἑαυτοὺς ἐνδεδωκόσι ζωῆς ἀναληπτικὸν φάρμακον ἐχορήγησε. τοῦτο δ' ἐστὶ τὸ τῆς μετανοίας μυστήριον, δι' οὗ τοῖς μετὰ τὸ βάπτισμα ὠλισθηκόσιν ἡ τοῦ θανάτου τοῦ Χριστοῦ εὐεργεσία προσάπτεται. ἦν μὲν οὖν ἐν παντὶ χρόνῳ πᾶσιν ἀνθρώποις τοῖς θανασίμῳ τινὶ ἁμαρτήματι ἑαυτοὺς μολύνασιν ἀναγκαία πρὸς τὸ τῆς χάριτος καὶ δικαιοσύνης τυχεῖν ἡ μετάνοια, καὶ αὐτοῖς ἔτι μὴν ἐκείνοις ὅσοι τῷ τοῦ βαπτίσματος μυστηρίῳ λουθῆναι ᾐτήσαντο, ἵνα τὴν πονηρίαν ἀποθέμενοι καὶ διορθωσάμενοι, τὸ εἰς τὸν θεὸν τοσοῦτον πταῖσμα μετὰ μίσους τῆς ἁμαρτίας καὶ λύπης εὐσεβοῦς καρδίας βδελυχθῶσιν. ὅθεν καὶ ὁ προφήτης φησίν. ἐπιστρέψατε καὶ μετανοεῖτε ἀπὸ πασῶν τῶν ἀσεβειῶν ὑμῶν, καὶ οὐκ ἔσονται ὑμῖν εἰς κόλασιν ἀδικίας. καὶ ὁ κύριος δέ φησιν. ἐὰν μὴ μετανοήσητε, πάντες ὁμοίως ἀπολεῖσθε. καὶ ὁ κορυφαῖος δὲ τῶν ἀποστόλων Πέτρος τοῖς διὰ βαπτίσματος τελεσθησομένοις ἁμαρτωλοῖς, τὴν μετανόησιν συνιστάνων ἔλεγε. μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν. οὐ μὴν ἀλλὰ οὔτε πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας μυστήριον ἦν ἡ μετάνοια, οὔτε μὴν μετὰ τὴν ἐκείνου παρουσίαν τινὶ πρὸ τοῦ βαπτίσματος. ὁ δὲ κύριος τὸ μυστήριον αὐτῆς τότε μάλιστα ἐνομοθέτησεν, ὅτε ἐκ νεκρῶν ἐγερθεὶς ἐνεφύσησε τοῖς μαθηταῖς αὐτοῦ λέγων. λάβετε πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται αὐτοῖς. ἄν τινων κρατῆτε, κεκράτηνται. τῷ δὴ οὕτως ἐπισήμῳ τούτῳ ἔργῳ καὶ τοῖς οὕτως ἐναργέσι λόγοις, ἐξουσίαν τοῦ ἀφιέναι καὶ κρατεῖν τὰς ἁμαρτίας τοῖς τε ἀποστόλοις καὶ τοῖς ἐκείνων νομίμοις διαδόχοις μεταδεδόσθαι πρὸς διαλλαγὴν τῶν μετὰ τὸ βάπτισμα ὠλισθηκότων πιστῶν, ἀεί ποτε ὁμογνώμονι συγκαταθέσει πάντες οἱ πατέρες ἐνόησαν, πάλαι τε ἡ καθολικὴ ἐκκλησία πάνυ εὐλόγως τοὺς ἀπὸ Ναυάτου τὴν τοῦ ἀφιέναι τὰς ἁμαρτίας ἐξου-

ἐξουσίαν αὐθαδῶς ἀρνουμένοις ὡς αἱρετικοῖς ἐξεκήρυξέ τε καὶ κατέκρινε. διόπερ τὸν ἀληθέστατον τοῦτον νοῦν τῶν τῆς κυρίας ἐκείνων ῥημάτων ἡ ἁγία σύνοδος αὕτη δοκιμάζουσά τε καὶ παραδεχομένη, κατακρίνει τὰς πλασματώδεις ἑρμηνείας τῶν τὰ ῥήματα ἐκεῖνα εἰς τὴν τοῦ κηρύττειν τὸν λόγον τοῦ θεοῦ καὶ τὸ Χριστοῦ εὐαγγέλιον ἀναγγέλλειν ἐξουσίαν κατὰ τῆς τοῦ μυστηρίου τούτου νομοθετήσεως ἐψευσμένως παραστρεφόντων.

Περὶ διαφορᾶς τῆς τῆς μετανοίας καὶ τοῦ τοῦ βαπτίσματος μυστηρίου. κεφ. β'.

Ὅτι δὲ διαφέρει βαπτίσματος τὸ μυστήριον τοῦτο, πολλαχῶς ἐστὶ γνῶναι. χωρὶς γὰρ τοῦ ὅτι τῇ τε ὕλῃ καὶ τῷ εἴδει, οἷς ἡ ἑκάστου μυστηρίου οὐσία συνίσταταί τε καὶ τελειοῦται, μάλιστα διαφέρει, ἐκεῖνο μὲν φανερὸν ὅτι τὸν μὲν τοῦ βαπτίσματος ὑπηρέτην οὐ δεῖ κριτὴν εἶναι. οὐδένα γὰρ ἡ ἐκκλησία κρίνει ὃς ἂν μὴ πρότερον διὰ τῆς τοῦ βαπτίσματος θύρας εἰς αὐτὴν εἰσέλθῃ. τί γάρ μοι (φησὶν ὁ ἀπόστολος) καὶ τοὺς ἔξω κρίνειν. οὐχ οὕτω δὲ περὶ τῶν οἰκειακῶν τῆς πίστεως οὓς ὁ δεσπότης Χριστὸς τῷ λουτρῷ τοῦ βαπτίσματος ἅπαξ τοῦ ἑαυτοῦ σώματος μέλη ἀπειργάσατο. τούτοις γὰρ ἐὰν μετὰ ταῦτα ἐγκλήματί τινι ἑαυτοὺς μολύνωσιν οὐκέτι βαπτίσματι δευτέρῳ ἀπολούεσθαι (τοῦτο γὰρ ἐν τῇ καθολικῇ ἐκκλησίᾳ οὐδενὶ λόγῳ ἔξεστιν) ἀλλ' ἔμπροσθεν τοῦ βήματος τούτου ὡς ἐνόχοις καὶ ὑποδίκοις παρίστασθαι ἠθέλησεν, ἵνα διὰ τῆς τῶν ἱερέων ἀποφάσεως οὐχ ἅπαξ ἀλλ' ὁσάκις ἂν ἀπὸ τῶν ἡμαρτημένων αὐτοῖς ἁμαρτημάτων μετανοήσαντες πρὸς αὐτοὺς καταφύγωσιν, ἀπολυθῆναι δύνωνται. παρὰ δὲ ταῦτα, ἕτερός τις ἐστὶν ὁ τοῦ βαπτίσματος καὶ ἕτερος ὁ τῆς μετανοίας καρπός. διὰ μὲν γὰρ τοῦ βαπτίσματος Χριστὸν ἐνδυόμενοι, καινὴ παντελῶς κτίσις ἐν ἐκείνῳ γινόμεθα πλήρεις καὶ ὁλοτελοῦς ἁπασῶν τῶν ἁμαρτιῶν ἀφέσεως τυγχάνοντες

πρὸς

πρὸς τὴν δὴ καινότητα καὶ ὁλοτέλειαν διὰ τοῦ τῆς μετανοίας μυστηρίου χωρὶς πολλῶν καὶ μεγάλων ἡμετέρων κλαυθμῶν τε καὶ πόνων (τῆς θείας δίκης οὕτως ἀπαιτούσης) ἐφικνεῖσθαι οὐ δυνάμεθα. ὥστε εἰκότως ἡ μετάνοια ἐπίπονόν τι βάπτισμα ὑπὸ τῶν ἁγίων πατέρων ὠνόμασαι. ἔστιν οὖν τὸ τῆς μετανοίας τοῦτο μυστήριον τοῖς μετὰ τὸ βάπτισμα ὀλισθηκόσιν ἀναγκαῖον εἰς σωτηρίαν οὕτως ὡς αὐτὸ τὸ βάπτισμα τοῖς μήπω δι᾽ αὐτοῦ ἀναγεννηθεῖσιν.

Περὶ τῶν μερῶν καὶ τοῦ καρποῦ τοῦ μυστηρίου τούτου. κεφ. γʹ.

Πρὸς δὲ τούτοις διδάσκει ἡ ἁγία σύνοδος, ὡς ὁ τοῦ τῆς μετανοίας μυστηρίου εἰδοποιὸς λόγος, ἐν ᾧ μάλιστα αὐτοῦ ἡ δύναμις ὑπάρχει, ἐν τοῖς τοῦ ὑπηρέτου κεῖται ῥήμασιν ἐκείνοις, ἐγώ σε ἀπολύω καὶ τὰ ἑξῆς. οἷς δὴ κατ᾽ ἔθος τῆς ἁγίας ἐκκλησίας εὐχαί τινες ἐπαινετῶς προστίθενται, αἵτινες ὅμως οὔτε πρὸς τὸν τοῦ εἰδοποιοῦ λόγου οὐσίαν ἀνήκουσιν, οὔτε πρὸς τὴν αὐτοῦ τοῦ μυστηρίου διακονίαν ἀναγκαῖαι εἰσίν. ἔστι δὲ οἱονεί τις ὕλη τοῦ μυστηρίου αἱ τοῦ μετανοοῦντος αὐτοῦ πράξεις, ἤτε σύντριψις δηλονότι καὶ ἡ ἐξομολόγησις καὶ ἡ ἱκανοποιία, αἵπερ ἐφ᾽ ὅσον ἐν τῷ μετανοοῦντι πρὸς τὴν τοῦ μυστηρίου ὁλοτέλειαν πλήρη τε καὶ τελείαν τῶν ἁμαρτιῶν ἄφεσιν κατὰ θεῖον θεσμὸν ἀπαιτοῦνται, ταύτῃ τῆς μετανοίας μέρη εἶναι λέγονται. ἀμέλει τό, τε πρᾶγμα καὶ τὸ ἐνέργημα τοῦ μυστηρίου τούτου, ὅσον εἴς τε τὴν δύναμιν αὐτοῦ καὶ τὴν ἐνέργειαν ἥκει, διαλλαγή ἐστι πρὸς τὸν θεὸν, ἣ πολλάκις ἐν τοῖς εὐσεβέσιν ἀνθρώποις καὶ σὺν εὐλαβείᾳ τὸ μυστήριον τοῦτο παραδεχομένοις συνειδήσεως εἰρήνη καὶ εὐδία σὺν πολλῇ πνεύματος παραμυθείᾳ συνεπακολουθεῖν εἴωθε. Ταῦτα μὲν οὖν ἡ ἁγία σύνοδος περί τε τῶν μερῶν καὶ τῆς δυνάμεως καὶ ἐνεργείας τοῦ μυστηρίου τούτου παραδιδοῦσα, ἅμα καὶ τὰς ἐκείνων κατακρίνει γνώμας, ὅσοι μέρη τῆς μετανοίας

νοίας τὰ τῇ συνειδήσει προσβάλλοντα δέρματα, καὶ τὴν πίστιν εἶναι διϊσχυρίζονται.

Περὶ συντρίψεως. κεφ. δʹ.

Ἡ σύντριψις πρώτην ἔχουσα τάξιν ἐν ταῖς εἰρημέναις τῶν μετανοούντων πράξεσι, ψυχῆς ἐστι λύπη καὶ βδελυγμὸς τῶν ἡμαρτημένων ἁμαρτημάτων μετὰ προθέσεως τοῦ μηκέτι τοῦ λοιποῦ ἁμαρτάνειν. ὑπῆρξε δὲ καθ' ὄν τινα δὴ χρόνον ἡ τῆς συντρίψεως αὕτη κίνησις πρὸς τὸ συγγνώμης τῶν ἁμαρτημάτων ἐπιτυχεῖν ἀναγκαία. ἐν δὲ τοῖς μετὰ τὸ βάπτισμα ὠλισθηκόσιν οὕτω δὴ πάντως εἰς ἄφεσιν τῶν ἁμαρτιῶν προπαρασκευάζει, ἐὰν τῇ πεποιθήσει τῶν τοῦ θεοῦ οἰκτιρμῶν καὶ εὐχῇ τοῦ τὰ ἐπίλοιπα παρασχεῖν ὅσα πρὸς τὸ θεμιτῶς τὸ μυστήριον τοῦτο ὑποδέχεσθαι ἀπαιτοῦνται συνζευχθῇ. ἀφηγεῖται τοίνυν ἡ ἁγία σύνοδος τὴν σύντριψιν ταύτην μὴ μόνον παῦσιν ἀπὸ τῶν ἁμαρτιῶν καὶ καινοῦ βίου πρόθεσίν τε καὶ καταρχὴν, ἀλλὰ καὶ τοῦ παρεληλυθότος μῖσος περιέχειν, κατὰ τὸ ῥητὸν ἐκεῖνο. ἀπορρίψατε ἀφ' ἑαυτῶν πάσας τὰς ἀσεβείας ὑμῶν ἃς ἐποιήσατε εἰς ἐμὲ, καὶ ποιήσατε ἑαυτοῖς καρδίαν καινὴν καὶ πνεῦμα καινόν. ἀμέλει καὶ εἴ τις τὰς τῶν ἁγίων κραυγὰς ἐκείνας σκοπήσειε. τὸ, σοὶ μόνῳ ἥμαρτον. καὶ τὸ, πονηρὸν ἐνώπιόν σου ἐποίησα. καὶ τὸ, ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσι τὴν στρωμνήν μου βρέξω. καὶ τὸ, ἀναλογίσομαί σοι πάντα τὰ ἔτη μου ἐν πικρίᾳ τῆς ψυχῆς μου. καὶ τὰς τοιαύτας ἄλλας, εὐχερῶς ἂν κατανοήσειεν ἐκ σφοδροῦ τινος μίσους τοῦ προβεβιωμένου βίου καὶ μεγάλης τῶν ἁμαρτιῶν βδελυγμίας προελθεῖν. παραδιδάσκει δὲ ταῦτα διδάσκει, ὅτι κἂν τὴν σύντριψιν ταύτην τελειοῦσθαι ποτὲ τῇ ἀγάπῃ συμβαίνῃ καὶ τῷ θεῷ τὸν ἄνθρωπον διαλλάττειν πρὸ τοῦ τὸ μυστήριον τοῦτο ἐνεργείᾳ ὑποδέξασθαι, ὅμως ἡ διαλλαγὴ αὕτη τῇ τοιαύτῃ συντρίψει χωρὶς εὐχῆς τοῦ μυστηρίου τῆς ἐν ἐκείνῃ

ἐμπε-

ἐμπεριειλημμένης οὐκ ἔστιν ἀναθετέα. τὴν δέγε ἀτελῆ σύντριψιν ἥτις καὶ ἐπίτριψις ἂν προσαγορεύοιτο, ἐπειδὴ ἤτοι ἐκ λογισμοῦ τῆς κατὰ τὴν ἁμαρτίαν αἰσχρότητος ἢ ἐκ φόβου τοῦ τῆς γεέννης καὶ τῶν ἐκεῖσε ποινῶν κοινῇ συλλαμβάνεται, ἐὰν τὴν τοῦ ἁμαρτάνειν βούλησιν ἐκκλείῃ καὶ σὺν ἐλπίδι συγγνώμης εἴη, μὴ μόνον μὴ ποιεῖν ὑποκριτὴν τὸν ἄνθρωπον, ἀλλὰ καὶ θεοῦ δωρεὰν εἶναι καὶ ὁρμὴν πνεύματος ἁγίου, οὔπω μὲν ἐγκατοικοῦντος, μόνον δέ γε κινοῦντος, ᾧπερ ὁ μετανοῶν βοηθούμενος, τὴν πρὸς τὴν δικαιοσύνην ὁδὸν ἑαυτῷ ἑτοιμάζει. κἂν δὲ χωρὶς τοῦ τῆς μετανοίας μυστηρίου καθ᾽ αὐτὴν εἰς δικαίωσιν ἄγειν τὸν ἁμαρτωλὸν οὐ δύναται, ὅμως αὐτὸν πρὸς τὸ τῆς τοῦ θεοῦ χάριτος ἐν τῷ τῆς μετανοίας μυστηρίῳ τυγχάνειν διατίθησι. τούτῳ γὰρ τῷ φόβῳ προσφόρως συντιναχθέντες οἱ Νινευῖται εἰς τὸ κήρυγμα Ιωνᾶ φόβου μεστὸν, μετάνοιαν ἐπεδείξαντο καὶ συγγνώμης ἔτυχον παρὰ τοῦ κυρίου. διὸ ψευδῶς τινὲς τοὺς καθολικοὺς συγγραφεῖς συκοφαντοῦσι καὶ διαβάλλουσιν ὡς παραδεδωκότας ὅτι χωρὶς τῆς τῶν ὑποδεχομένων ἀγαθῆς κινήσεως τὸ τῆς μετανοίας μυστήριον χορηγεῖ τὴν χάριν. ὅπερ οὐδέποτε ἡ τοῦ θεοῦ ἐκκλησία οὔτε ἐδίδαξεν, οὔτ᾽ ἐφρόνησε. καὶ μὴν καὶ τὸ τὴν σύντριψιν ἐκβεβιασμένην τε καὶ κατηναγκασμένην εἶναι, καὶ οὔτε ἐλευθέραν οὔτε ἐθελούσιον, τῆς ἐκείνων κατεψευσμένης ἐστὶ διδασκαλίας.

Περὶ ἐξομολογήσεως. κεφ. εʹ.

Εκ τῆς προεκτεθείσης νομοθετήσεως τοῦ μυστηρίου τῆς μετανοίας, ἔτι καὶ τὴν τῶν ἁμαρτημάτων ὁλόκληρον ἐξομολόγησιν ὑπὸ τοῦ δεσπότου Χριστοῦ νενομοθετῆσθαί τε, καὶ πᾶσι τοῖς μετὰ τὸ βάπτισμα καταλισθήσασι θείῳ θεσμῷ ἀναγκαίαν εἶναι ἡ σύμπασα ἐκκλησία ἀεί ποτε ἐφρόνησε. διότι ὁ κύριος ἡμῶν Ιησοῦς Χριστὸς ὅτε ἀπὸ τῆς γῆς εἰς τοὺς οὐρανοὺς ἔμελλεν ἀναβαίνειν, τὸν αὐτοῦ τόπον ἐπέχοντας τοὺς ἱε-

ρεῖς οἷά τινας προέδρους καὶ κριτὰς κατέλιπε, πρὸς οὓς πάντα τὰ θανάσιμα ἁμαρτήματα οἷς οἱ πιστοὶ περιπέσοιεν, ἀποφέρειν τε, ἐφ' ᾧ κατὰ τὴν τῶν κλειδῶν ἐξουσίαν περὶ ἀφέσεως ἢ κρατήσεως τῶν ἁμαρτιῶν ἐκεῖνοι τὴν ψῆφον φέροιεν. δῆλον γὰρ ὅτι τὴν αἰτίαν ἀγνοοῦντες οἱ ἱερεῖς, ταύτην τὴν κρίσιν οὐκ ἂν ἐδυνήθησαν ποιεῖν, οὐ δέ γε ἐν τῷ τὰ ἐπιτίμια ἐπιτιθέναι τὸ ἐπιεικὲς διαφυλάττειν, εἰ γενικῶς μόνον ἀλλὰ μὴ μᾶλλον εἰδικῶς καὶ κατὰ μέρος τὰς ἑαυτῶν ἕκαστοι ἁμαρτίας ἐκφήνειαν. ὅθεν συλλέγεται τοὺς μετανοοῦντας μετὰ τὸ ἀκριβῶς ἑαυτοὺς ἀνακεκρικέναι, πάντα τὰ θανάσιμα ἁμαρτήματα ἅπερ ἑαυτοῖς συνοίδασιν κατὰ τὴν ἐξομολόγησιν ἀπαριθμεῖν καὶ καταλέγειν δεῖν, κἂν ὅτι μάλιστα κρύφια ὄντα τυγχάνῃ καὶ κατὰ τῶν ἐσχάτων δύο τοῦ δεκαλόγου παραγγελμάτων ἡμαρτημένα. ἅπερ ἐνίοτε βαρύτερόν τε τὰς ψυχὰς τιτρώσκει καὶ κινδυνωδέστερα εἰσὶ τῶν ἐκ τοῦ προφανοῦς ἁμαρτανομένων. ἐπεὶ τά γε συγγνωστά, δι' ἃ τῆς τοῦ θεοῦ χάριτος οὐκ ἐκπίπτομεν καὶ οἷς συνεχέστερον περιπίπτομεν, καίπερ ὀρθῶς τε καὶ ὠφελίμως καὶ ἐκτὸς πάσης οἰήσεως καὶ προπετείας κατὰ τὴν ἐξομολόγησιν ἐξαγορεύωνται, ὡς ἐκ τοῦ τῶν εὐσεβῶν ἀνθρώπων ἔθους διαδείκνυται, ὅμως ἀναιτίως τε ἀποσιωπᾶσθαι καὶ πολλοῖς ἄλλοις ἰάμασιν ἐξαλειφθῆναι δύνανται. τὰ δέ γε θανάσιμα ἁμαρτήματα πάντα καὶ αὐτὰ ἔτι μὴν τὰ τῆς διανοίας, ἐπειδὴ ὀργῆς τέκνα, καὶ ἐχθροὺς τῷ θεῷ τοὺς ἀνθρώπους ἀποτελοῦσιν, ἀνάγκη συγγνώμην ἐπ' αὐτοῖς μετὰ ἀποκεκαλυμμένης καὶ αἰδήμονος ἐξαγορεύσεως παρὰ τοῦ θεοῦ αἰτεῖσθαι. οὐκοῦν ἐν ᾧ δὴ πάντα τὰ εἰς μνήμην ἥκοντα ἁμαρτήματα ἐξομολογεῖσθαι οἱ πιστοὶ σπουδάζουσι, πάντα ὄντως τοῖς τοῦ θεοῦ οἰκτιρμοῖς ἐπιγνωσθησόμενα ἐκτίθενται. οἱ δέ γε ἄλλως ποιοῦντες καὶ εἰδότως τινὰ κατέχοντες, οὐδὲν τῇ τοῦ θεοῦ ἀγαθότητι διὰ τοῦ ἱερέως ἀφεθησόμενον προτιθέασι. εἰ γὰρ ἐρυθριάσειεν ὁ κάμνων

μενων ἀποκαλύψαι τὸ τραῦμα τῷ ἰατρῷ, οὐκ ἄν ποτε τὸ ἀγνοούμενον ἡ ἰατρικὴ θεραπεύσει. παρὰ δὲ ταῦτα συλλέγεται ὅτι καὶ τὰς περιστάσεις ἐκείνας ἐν τῇ ἐξομολογήσει ἐκφραστέον ἐστὶν ὅσαι τὸ εἶδος τοῦ ἁμαρτήματος ἐξαλλάττουσι. διὰ τὸ χωρὶς αὐτῶν μήτε ὑπὸ τῶν μετανοούντων ὁλοκλήρως ἐκφράζεσθαι αὐτὰ τὰ ἁμαρτήματα, μήτε τοῖς κρίνουσι κατάδηλα γίνεσθαι. ἀδύνατόν τε εἶναι περί τε τοῦ τῶν ἁμαρτημάτων βάρους ὀρθῶς γινώσκειν, καὶ τὴν προσήκουσαν ποινὴν ἀντ' ἐκείνων τοῖς μετανοοῦσιν ἐπιθεῖναι. διόπερ ἄλογον καὶ σκαιόν ἐστι διδάσκειν τὰς περιστάσεις ταύτας ὑπὸ ἀργῶν ἀνθρώπων ἐξευρεθῆναι, ἢ μίαν μόνον περίστασιν ἐξομολογητέον εἶναι, τὸ εἰς τὸν ἀδελφὸν δηλαδὴ ἡμαρτηκέναι. ἀλλὰ δὴ καὶ τὴν τοιουτοτρόπως γίνεσθαι παραγγελλομένην ἐξομολόγησιν, ἀδύνατον εἶναι λέγειν ἀσεβές ἐστιν, ἢ βασανισμὸν τῶν συνειδήσεων αὐτὴν προσαγορεύειν. φανερὸν γὰρ μηδὲν ἄλλο ἐν τῇ ἐκκλησίᾳ παρὰ τῶν μετανοούντων ἀπαιτεῖσθαι, εἰ μὴ ὅτι μετὰ τὸ ἀκριβῶς ἑαυτὸν ἐξετάσαι τὸν ἄνθρωπον καὶ τῆς ἑαυτοῦ συνειδήσεως τάς τε πτύχας ἁπάσας καὶ τοὺς μυχοὺς διερευνῆσαι, ἐκεῖνα τῶν ἁμαρτημάτων ἕκαστος ἐξομολογήσηται οἷς εἰς τὸν κύριον καὶ θεὸν αὐτοῦ θανασίμως πταῖσαι διαμνημονεύῃ. τὰ δέ γε ἐπίλοιπα τῶν ἁμαρτημάτων ὅσα ἐπιμελῶς διαλογισαμένῳ οὐκ ἐπέρχονται, γενικῶς τῇ αὐτῇ ἐξομολογήσει συμπεριλαμβάνεσθαι λογίζονται. ὑπὲρ ὧν πιστῶς μετὰ τοῦ προφήτου λέγομεν. ἐκ τῶν κρυφίων μου καθάρισόν με κύριε. αὐτὸ δὲ τὸ τῆς τοιαύτης ἐξομολογήσεως προσάντες καὶ ἡ πρὸς τὴν ἐκκάλυψιν τῶν ἁμαρτημάτων αἰσχύνη, ἐπαχθὲς ἂν δόξειεν, εἰ μὴ τοσαύταις καὶ τοιαύταις ὠφελείαις τε καὶ παραμυθίαις ἠλαφρύνετο, αἳ τοῖς πρὸς τὸ μυστήριον τοῦτο ἀξίως προσερχομένοις πᾶσιν ἀναμφισβητήτως διὰ τῆς ἀπολύσεως χορηγοῦνται. λοιπὸν δὲ ὅσον εἰς τὸν τρόπον ἀνήκει τοῦ κρυφίως πρὸς

μόνον

μόνον τὸν ἱερέα τὰς ἁμαρτίας ἐξαγορεύειν, κἂν ὁ δεσπότης Χριστὸς οὐκ ἀπηγόρευσέ ποτε μὴ οὐκ ἐξεῖναι ἵνα τις εἴς τε ἐκδίκησιν τῶν ἰδίων κακουργημάτων καὶ ἑαυτοῦ ταπείνωσιν, καὶ τὰ μὲν εἰς παράδειγμα τῶν ἄλλων, τὰ δὲ εἰς οἰκοδομὴν τῆς ἐκκλησίας εἰς ἣν ἔπταισε, τὰ ἑαυτοῦ ἁμαρτήματα δημοσίᾳ ἐξαγορεύῃ, ὅμως οὔτε κατὰ θείαν ἐντολὴν τοῦτο προστέτακται, οὔτ᾽ ἀνθρωπίνῳ νόμῳ φρονίμως ἐπιτάσσοιτ᾽ ἂν τὸ τὰ πλημμελήματα καὶ μάλιστα ὅσα κρύφια εἰσὶ, δημοσίᾳ ἐξομολογήσει δεῖν ἐκκαλύπτειν. ὅθεν ἐπειδὴ ἡ μυστηριακὴ κρύφα γινομένη ἐξομολόγησις ᾗ ἀρχῆθεν ἡ ἁγία ἐκκλησία κέχρηται καὶ νῦν ἔτι χρῆται, παρὰ τοῖς ἁγιωτάτοις καὶ ἀρχαιοτάτοις πατράσιν μεγάλῃ καὶ ὁμοψύχῳ ὁμοφρονήσει ἀεί ποτε ηὐδοκίμησε, προφανῶς ἀνατρέπεται ἡ διάκενος συκοφάντησις ἐκείνων, ὅσοι ἀλλοτρίαν αὐτὴν εἶναι τοῦ θείου προστάγματος, ἀνθρώπινόν τε εὕρημα καὶ ὑπὸ τῶν ἐν Λατεράνῳ συναχθέντων πατέρων τὴν ἀρχὴν ἐσχηκέναι διδάσκειν οὐκ εὐλαβοῦνται. οὐ δὲ γὰρ διὰ τῆς ἐν Λατεράνῳ συνόδου τὸ τοὺς πιστοὺς ἐξομολογεῖσθαι κατέστησεν ἡ ἐκκλησία, ὃ δὴ θείῳ θεσμῷ ἀναγκαῖον εἶναι καὶ διατετάχθαι κατανενοήκει, ἀλλ᾽ ἵνα τὸ τῆς ἐξομολογήσεως πρόσταγμα ὑπὸ πάντων καὶ ἑνὸς ἑκάστου ἐπειδὰν εἰς τὰ τῆς διακρίσεως ἔτη ἀφίκωνται κἂν γοῦν ἅπαξ τοῦ ἐνιαυτοῦ ἐκπληρωθείη. ὅθεν ἐν πάσῃ ἤδη τῇ ἐκκλησίᾳ ἡ σωτηριώδης αὕτη συνήθεια τοῦ κατὰ τὸν ἱερὸν καὶ μάλιστα εὐπρόσδεκτον τῆς τεσσαρακοστῆς καιρὸν ἐξομολογεῖσθαι σὺν μεγάλῃ τῶν πιστῶν ψυχῶν ὠφελείᾳ καὶ προκοπῇ διαφυλάττεται. ἣν δὴ συνήθειαν ἡ ἁγία σύνοδος αὕτη μάλιστα δοκιμάζουσα ἀποδέχεταί τε καὶ ἀσπάζεται ἅτε δὴ εὐσεβῆ τε καὶ εὐλόγως κρατητέαν.

Περὶ ὑπηρέτου τοῦ τὸ μυστήριον τοῦτο διακονοῦντος, καὶ περὶ τῆς ἀπολύσεως. κεφ. ϛʹ.

Περὶ δὲ τοῦ τὸ μυστήριον τοῦτο διακονοῦντος ὑπηρέτου διασαφεῖ

σαφεῖ ἡ ἁγία σύνοδος ψευδεῖς εἶναι καὶ τῆς εὐαγγελικῆς ἀλη-
θείας παντελῶς ἀλλοτρίας τὰς διδασκαλίας ἁπάσας ὅσαι
ὀλεθρίως εἰς ὁποιουσινασοῦν ἄλλους ἀνθρώπους παρὰ τοὺς ἐ-
πισκόπους τε καὶ τοὺς ἱερεῖς τὴν τῶν κλειδῶν διακονίαν ἐπεκτεί-
νουσι, τῷ τὰ τοῦ κυρίου ῥήματα ἐκεῖνα (ὅσα ἂν δήσητε ἐπὶ τῆς
γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς
γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. καὶ πάλιν. ὧν ἂν ἀφῆτε τὰς
ἁμαρτίας, ἀφίενται αὐτοῖς, καὶ ὧν ἂν κρατῆτε, κεκράτηνται)
πρὸς πάντας τοὺς πιστοὺς ἀδιαφόρως καὶ ἐπικοίνως παρὰ τὴν
τοῦ μυστηρίου τούτου θεσμοθεσίαν οὕτως εἰρῆσθαι νομίζειν
ὥστε πάντα τινὰ ἐξουσίαν ἔχειν τοῦ τὰς ἁμαρτίας ἀφιέναι, διὰ
παιδεύσεως μὲν τὰς δημοσίᾳ πεπραγμένας, (ἐὰν ὁ παιδευ
θεὶς ἐφησυχάσῃ) τὰ δὲ κρύφια δι' αὐθαιρέτου ἐξαγορεύσεως
πρὸς τὸν τυχόντα γινομένης. ἔτι μὴν διδάσκει, καὶ τοὺς θα-
νασίμῳ ἁμαρτήματι ἐνεχομένους ἱερεῖς, ἐν τῇ τοῦ ἁγίου πνεύ
ματος δυνάμει τῇ κατὰ τὴν χειροτονίαν αὐτοῖς χορηγηθείσῃ
ὡς ὑπηρέτας τοῦ Χριστοῦ, τὴν τοῦ ἀφιέναι τὰς ἁμαρτίας διακο-
νίαν ἐπιτηδεύειν. ἐκείνους τε κακῶς φρονεῖν ὅσοι ἐν τοῖς πο-
νηροῖς ἱερεῦσι τὴν ἐξουσίαν ταύτην μὴ ὑπάρχειν διϊσχυρίζον-
ται. ἡ δέ γε ἀπόλυσις κἂν ᾖ ἀλλοτρίας εὐεργεσίας οἰκονο-
μία, ὅμως οὐ ψιλή ἐστιν ὑπηρεσία ἢ τοῦ τὸ εὐαγγέλιον ἀνα-
κηρύττειν, ἢ τοῦ ἀφεῖσθαι τὰς ἁμαρτίας ἐκφαίνειν, ἀλλὰ καθ'
ὁμοιότητα δικανικῆς πράξεως εἶναι, καθ' ἣν οἱ ἱερεῖς ὡς οἷα
δικασταὶ τὴν ἀπόφασιν ἀποφαίνουσι. διόπερ οὐ δεῖ τὸν μετανοοῦν
τα τοσοῦτον περὶ τῆς ἑαυτοῦ πίστεως αὐτοαρεσκεῖν καὶ αὐτὸν
ὑποθωπεῦσαι, ὥστε κἂν μηδοποιουοῦν ἡ αὐτῷ συντρίψεως
προσγίνηται ἢ τῷ ἱερεῖ σκοπὸς τοῦ σπουδῇ ἐργάζεσθαι καὶ ὡς
ἀληθῶς ἀπολῦσαι, ὅμως διὰ μόνην τὴν ἑαυτοῦ πίστιν ὡς
ἀληθῶς καὶ ἐνώπιον τοῦ θεοῦ ἀπολελύσθαι νομίζειν. οὔτε
γὰρ ἂν χωρὶς μετανοίας ἄφεσίν τινα ἁμαρτιῶν ἡ πίστις παρέ-
χοι, οὔτ' ἂν τις εἴη μὴ τῆς ἑαυτοῦ σωτηρίας κομιδῇ καταμε-

λημέ-

λημμένως ἔχων, ὅς τις κατὰ παιδιὰν ἀπολύοντα τὸν ἱερέα γινώσκων, οὐκ ἄλλον τινὰ τὸν σπουδῇ ταυτὸ τοῦτο πράξοντα ἐπιμελῶς ἐπιζητήσῃ.

Περὶ τῶν τοῖς ἀρχιερεῦσι ἀποκειμένων ὑποθέσεων. κεφ. ζʹ.

Ἐπεὶ δὲ ἥτε φύσις καὶ ὁ λόγος τοῦ δικάζειν ἀπαιτεῖ ἵνα ἐπὶ μόνοις τοῖς ὑποτεταγμένοις τὰς ἀποφάσεις ἐξῇ διδόναι, ἀεί ποτε πεπεισμένον ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ὑπῆρξε τοῦθ᾽ ὃ καὶ νῦν ἡ σύνοδος αὕτη ὡς ἀληθὲς ὂν ἐπιβεβαιοῖ, τὸ μηδεμίας εἶναι ῥοπῆς καὶ δυνάμεως τὴν ἀπόλυσιν ἐκείνην ἣν ἂν ὁ ἱερεὺς ἐπί τινος ἀποφαίνεται ἐφ᾽ ὃν μὴ τὸ λεγόμενον ὀρδινάριον ἢ κατ᾽ ἐπιτροπὴν ἔχῃ δικαστήριον. σφόδρα δὲ εἰς τὴν τοῦ χριστωνύμου λαοῦ παιδείαν συντελεῖν ἔδοξε τοῖς ἁγίοις ἡμῶν πατράσι τὸ τὰ ἀπηνέστερα καὶ βαρύτερα τῶν ἐγκλημάτων μὴ ὑπὸ τῶν τυχόντων ἀλλὰ μόνον ὑπὸ τῶν ἀρχιερέων ἀφίεσθαί τε καὶ ἀπολύεσθαι. ὅθεν εὐλόγως οἱ ἄκροι ἀρχιερεῖς τῇ κατὰ πᾶσαν τὴν ἐκκλησίαν παραδοθείσῃ αὐτοῖς ἀρχικωτάτῃ ἐξουσίᾳ τὰς βαρυτέρας τινὰς ἐγκλημάτων αἰτίας τῇ ἑαυτῶν ἰδικῇ κρίσει ἀποθέσθαι δεδύνηνται. ἀλλ᾽ οὐδὲ μὴν διστακτέον ἐστὶν, ἐπεὶ πάντα τὰ ἀπὸ θεοῦ, τεταγμένα εἰσὶ, μὴ οὐ καὶ τοῖς ἐπισκόποις πᾶσιν ἐν τῇ αὐτῶν ἑκάστου διοικήσει ταυτὸ τοῦτο ἑκάστῳ εἴς γε οἰκοδομὴν ἀλλὰ μὴ εἰς καθαίρεσιν κατὰ τὴν ἐκείνοις ὑπὲρ τοὺς κατωτέρω ἱερεῖς δεδομένην ἐπὶ τοῖς ὑποτεταγμένοις ἐξουσίαν ἐξεῖναι, καὶ μάλιστα κατ᾽ ἐκεῖνα τῶν ἐγκλημάτων οἷς ἀφορισμοῦ καταδίκη συνέζευκται. ταύτην δὴ τῶν ἐγκλημάτων ἀπόθεσιν προσῆκον ἐστὶ τῇ θείᾳ ἐξουσίᾳ μὴ μόνον κατὰ τὴν ἔξω πολιτείαν ἀλλὰ καὶ ἐνώπιον τοῦ θεοῦ κράτος ἔχειν. οὐ μὴν ἀλλὰ εὐσεβῶς πάνυ ἵνα μηδεὶς τῇ προφάσει ταύτῃ ἀπολεσθῇ, ἐν τῇ αὐτῇ τοῦ θεοῦ ἐκκλησίᾳ ἀεί ποτε τετήρηται μηδεμίαν ἀπόθεσιν ἐν τῷ ἐφισταμένου θανάτου καιρῷ ἰσχύειν, καθ᾽ ἣν δήπου

δήπου παντὶ ἱερεῖ πάντα τινὰ μετανοοῦντα ὁποιωνοῦν ἁμαρτημάτων καὶ ἐπιτιμίων ἀπολύειν ἔξεστιν. ἔξω δὲ τοῦ καιροῦ τούτου οἱ πρεσβύτεροι ἅτε μηδὲν κατὰ τὰς ὑπεξῃρημένας ἀποθέσεις ἰσχύοντες, ἓν μόνον τοῖς μετανοοῦσι παραινεῖν πεφύκασιν, ὥστε πρὸς τοὺς ἀνωτέρους καὶ νομίμους δικαστὰς προσελθεῖν ἐπὶ τῷ τοῦ τῆς ἀπολύσεως εὐεργετήματος τυχεῖν.

Περὶ χρείας ἀναγκαίας καὶ καρποῦ τῆς ἱκανοποιίας. κεφ. η'.

Λοιπὸν δὲ περὶ ἱκανοποιίας (ἥτις ἐν πᾶσι τοῖς μέρεσι τῆς μετανοίας καθάπερ ὑπὸ τῶν πατέρων ἡμῶν τῷ χριστωνύμῳ λαῷ διηνεκεῖ χρόνῳ ἀεί ποτε συνέσταται, ἔτι μάλιστα πάντων ἐν τῷ καθ' ἡμᾶς χρόνῳ δι' ἄκρου εὐσεβείας προσχήματος προσπολεμεῖται ὑπὸ τῶν πρόσχημα μὲν εὐσεβείας προβαλλομένων, τὴν δὲ ταύτης ἀρετὴν ἀρνησαμένων) ἐκτίθεται ἡ ἁγία σύνοδος πάντως ψευδὲς εἶναι καὶ τῶν θείων λογίων ἀλλότριον τὸ μηδέποτε ὑπὸ κυρίου ἀφίεσθαι τὸ πταῖσμα, ἐὰν μὴ καὶ ἡ ποινὴ σύμπασα συγχωρηθῇ. ἐναργῆ γὰρ καὶ ἐπίσημα ἐν τοῖς ἱεροῖς γράμμασιν εὑρίσκεται παραδείγματα, οἷς πρὸς τῇ θείᾳ παραδόσει, ἡ πλάνη αὕτη προφανέστατα ἀνατρέπεται. ἀμέλει καὶ ὁ τῆς θείας δίκης λόγος ἀπαιτεῖν δοκεῖ, ἄλλως αὐτῷ διαλλάττεσθαι τοὺς πρὸ τοῦ βαπτίσματος δι' ἄγνοιαν ἡμαρτηκότας, καὶ ἄλλως τοὺς ἅπαξ μὲν τῆς ἁμαρτίας καὶ τῆς τοῦ διαβόλου δουλείας ἤδη ἐλευθερωθέντας, λαβόντας τε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος, εἶτα εἰδότως τὸν ναὸν τοῦ θεοῦ διαφθείρειν καὶ τὸ πνεῦμα τὸ ἅγιον λυπεῖν οὐκ ὀκνήσαντας. ἔτι δὲ τῇ γε τοῦ θεοῦ συγγνωμοσύνῃ πρεπῶδες ἐστὶ τὸ μὴ οὕτω χωρίς τινος ἱκανοποιίας ἀφίεσθαι ὑμῖν τὰ ἁμαρτήματα, ἵνα μὴ ἀφορμὴν λαβόντες τοῦ τὰ ἁμαρτήματα ἐλαφρότερα νομίζειν, καὶ οἱονεὶ ὑβρίζοντες εἰς τὸ πνεῦμα τὸ ἅγιον, εἰς βαρύτερα ἁμαρτήματα καταλισθῶμεν, ὀργὴν ἡμῖν αὐτοῖς θησαυρίζοντες ἐν ὀργῆς ἡ-

μέρα. ὡς ἀληθῶς γὰρ πάνυ τι τοῦ ἁμαρτάνειν ἡμᾶς ἀνακαλοῦνται, καὶ οἱονεί τινι χαλινῷ καθείργουσι τὰ ἱκανοποιητικὰ ἐπιτίμια ταῦτα, εὐλαβεστέρους τε καὶ μᾶλλον ἐγρηγορότας εἰς τοὐπιὸν τοὺς μετανοοῦντας ἀπεργάζονται, ἰῶνταί τε τὰ τῶν ἁμαρτημάτων λείψανα, καὶ τὰς τῆς κακίας ἕξεις τὰς ἐκ τοῦ μοχθηρῶς ζῆν προσκτηθείσας ταῖς ἐναντίαις καὶ κατ' ἀρετὴν πράξεσιν ἀναιροῦσιν. οὐ μὴν οὐδὲ ἀσφαλεστέρα ἄλλη ποτὲ ὁδὸς εἰς ἀποτροπὴν τῆς παρὰ τοῦ κυρίου ἐφεστώσης τιμωρίας ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ νενόμισται, ὡς ἢ τὸ τὰ ἔργα ταῦτα τῆς μετανοίας σὺν ἀληθινῇ λύπῃ καρδίας τοὺς ἀνθρώπους συχνάζειν. πρόσεστι τούτοις ὅτι ἐν ᾧ ἱκανοποιοῦντες πάσχομεν, τῷ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἱκανοποιήσαντι Ἰησοῦ Χριστῷ (ἐξ οὗ πᾶσα ἡμῶν ἡ ἱκανότης) συσχηματιζόμεθα. ἀσφαλέστατόν τε ἐκεῖθεν ἀρραβῶνα ἔχοντες, ὡς εἰ συμπάσχομεν καὶ συνδοξασθησόμεθα. οὐ μέν τοι γε οὕτως ἡμετέραν νομιστέον εἶναι τὴν ἱκανοποιΐαν ταύτην, ἣν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἀποτίνομεν, ὥστε μὴ διὰ Ἰησοῦ Χριστοῦ εἶναι. οἱ γὰρ ἀφ' ἡμῶν, ὡς ἀφ' ἡμῶν, οὐδὲν ἰσχύομεν, αὐτοῦ συνεργοῦντος πάντα ἰσχύομεν. οὕτως οὐκ ἔχει ἄνθρωπος ὅθεν καυχήσεται, ἀλλὰ πᾶσα ἡμῶν ἡ καύχησις ἐν Χριστῷ ἐστίν, ἐν ᾧ ζῶμεν, ἐν ᾧ ἀξιούμεθα, ἐν ᾧ ἱκανοποιοῦμεν, ποιοῦντες καρποὺς ἀξίους τῆς μετανοίας. οὗτοι δ' ἐξ ἐκείνου τὴν δύναμιν ἔχουσιν, ὑπ' ἐκείνου τε τῷ πατρὶ προσφέρονται, καὶ δι' ἐκείνου δεκτοὶ γίνονται τῷ πατρί. ὀφείλουσι τοιγαροῦν οἱ τοῦ κυρίου ἱερεῖς ἐφ' ὅσον ἂν τοῖς τό, τε πνεῦμα καὶ ἡ φρόνησις ὑπαγορεύει, κατὰ τὴν τῶν ἐγκλημάτων ποιότητα, καὶ τὴν τῶν μετανοούντων δύναμιν, σωτηριώδη καὶ ἁρμόζοντα ἱκανοποιΐας ἐπιτίμια ἐπιτιθέναι. μήποτε ἐὰν ταῖς ἁμαρτίαις ἐπιμύσωσι, καὶ συγγνωμονέστερον τοῖς μετανοοῦσι προσφέρωνται, ἐλαφρότατά τινα ἔργα ἀντὶ φορτικωτάτων ἁμαρτημάτων ἐπιτιθέντες, ἀλλοτρίαις ἁμαρτίαις κοινωνῶσι. Ἐχέτωσαν τοί-

νων περὶ ὀφθαλμῶν, ὅπως ἡ παρ᾽ αὐτῶν ἐπιτιθεμένη ἱκανοποίησις, μὴ μόνον πρὸς τὴν τῆς καινῆς ζωῆς φυλακὴν καὶ πρὸς ἀσθενείας φάρμακον, ἀλλὰ καὶ πρὸς ἐκδίκησίν τε καὶ ἐπιτιμίαν τῶν προγεγενημένων ἁμαρτημάτων ὑπάρχῃ. ἐπείτοι γε τάς γε κλεῖς τὰς τοῖς ἱερεῦσι παραδεδομένας, οὐ πρὸς τὸ λῦσαι μόνον ἀλλὰ καὶ πρὸς τὸ δῆσαι δεδόσθαι ἐπὶ μὴν οἱ ἀρχαῖοι πατέρες φρονοῦσί τε καὶ διδάσκουσι. καὶ οὐ διὰ τοῦτο ἐνόμισαν ὀργῆς ἢ κολάσεων εἶναι κειτήριον τὸ τῆς μετανοίας μυστήριον. ὥσπερ ἀμέλει οὐδὲ τῶν καθολικῶν τὶς ἐφρόνησέ ποτε ὡς ἐκ τῶν τοιουτοτρόπων ἡμετέρων ἱκανοποιημάτων ἡ τῆς τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ ἀξίας καὶ ἱκανοποιήματος δύναμις ἢ ἀμαυροῦται, ἢ κατά τι μειοῦται. τοῦτο δὲ οἱ καινοτομοῦντες αἱρετικοὶ οὐ βουλόμενοι συνιέναι, οὕτως ἀρίστην εἶναι μετάνοιαν τὸν καινὸν βίον εἶναι διδάσκουσιν, ὥστε πᾶσαν τὴν τῆς ἱκανοποιίας δύναμιν καὶ χρείαν αἴρειν.

Περὶ τῶν τῆς ἱκανοποιίας ἔργων. κεφ. θʹ.

Διδάσκει δὲ πρὸς τούτοις ἡ σύνοδος τοσαύτην εἶναι τῆς θείας εὐποιίας τὴν δαψιλείαν, ὥστε οὐ μόνον διὰ τῶν αὐθαιρέτως ὑπὲρ ἐκδικήσεως τῶν ἁμαρτημάτων ὑφ᾽ ἡμῶν ἀναδεχθεισῶν ποινῶν ἢ καὶ κρίσει τοῦ ἱερέως κατὰ τὸ μέτρον τῶν πλημμεληθέντων ἐπιτεθεισῶν, ἀλλ᾽ ὃ μέγιστον ἀγάπης καὶ εὐσπλαγχνίας ἐστὶ τεκμήριον, ἐπὶ μὴν διὰ τῶν προσκαίρων μαστίγων τῶν ὑπὸ τοῦ θεοῦ ἡμῖν προσφερομένων ἐὰν τληπαθῶς αὐτὰς ὑπομένωμεν, τῷ θεῷ καὶ πατρὶ διὰ Ιησοῦ Χριστοῦ ἱκανοποιῆσαι δυνατοὶ γινόμεθα.

Διδασκαλία περὶ τοῦ μυστηρίου τῆς τελευταίας χρίσεως.

Εδοξε δὲ τῇ ἁγίᾳ συνόδῳ καὶ τὰ περὶ τοῦ μυστηρίου τῆς τελευταίας χρίσεως ἐπαγόμενα, τῇ προλαβούσῃ περὶ μετανοίας διδασκαλίᾳ δεῖν ἐπισυνάψαι. ἥνπερ οὐ μόνον τῆς μετανοίας, ἀλλὰ καὶ τῆς κατὰ Χριστὸν ζωῆς ἁπάσης, ἡ διηνε-

κὴς μετάνοια ὀφείλει εἶναι, συμπληρωτικὴν ἐνόμισαν οἱ πατέρες. πρῶτον οὖν περὶ τῆς ἐκείνου θεσμοθεσίας ὑφηγεῖται καὶ διδάσκει ἡ ἁγία σύνοδος, ὅτι ὁ ἱλεώτατος ἡμῶν λυτρωτής, ὃς ἐν παντὶ καιρῷ τοῖς δούλοις αὐτοῦ ἰάματα σωτηριώδη κατὰ πάντων τῶν παντὸς ἐχθροῦ βελῶν ἠθέλησεν προνοεῖσθαι, καθάπερ ἐν τοῖς ἄλλοις μυστηρίοις τὰ μέγιστα βοηθήματα παρεσκεύασεν οἷς ἀκεραίους ἑαυτοὺς οἱ χριστιανοὶ ἀπὸ πάσης βαρείας ζημίας τοῦ πνεύματος διὰ παντὸς τοῦ χρόνου τῆς ζωῆς αὐτῶν διαφυλάττειν ἔχωσιν, τὸν αὐτὸν δὴ τρόπον τὰ τέλη τῆς ζωῆς αὐτῶν τῷ τοῦ τελευταίου χρίσματος μυστηρίῳ οἷόν τινι ἑδραιοτάτῳ προβόλῳ κατωχύρωσε. κἂν γὰρ διὰ πάσης ἡμῶν τῆς ζωῆς ἀφορμὰς ὁ ἀντίδικος ἡμῶν ζητῇ καὶ θηρεύῃ, ὅπως ἡμῶν τὰς ψυχὰς παντὶ τρόπῳ καταφαγεῖν δυνήσεται, κατ' οὐδένα καιρὸν ὅμως οὕτω σφοδρότερον ἐκεῖνος πάντα τὰ τῆς ἑαυτοῦ πανουργίας νεῦρα ἐπιτείνει εἰς τὸ παντελῶς ἡμᾶς ἐξολοθρεῦσαι καὶ τῆς πεποιθήσεως τῆς τοῦ θεοῦ οἰκτιρμῶν, εἰ δύναιτο, καταβαλεῖν, ἢ καθ' ἣν ἡμῖν τὴν τοῦ βίου τελευτὴν ἐφίστασθαι καθορᾶται.

Περὶ τῆς διαταγῆς τοῦ μυστηρίου τῆς τελευταίας χρίσεως. κεφ. α΄.

Διετάχθη δὲ ἡ ἱερὰ αὕτη τῶν ἀσθενούντων χρίσις ἅτε δὴ τῆς καινῆς διαθήκης ἀληθινῶς καὶ κυρίως μυστήριον, ὑπὸ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, ὑποδεδειγμένη μὲν καὶ παρὰ Μάρκῳ, διὰ Ιακώβου δὲ τοῦ ἀποστόλου καὶ ἀδελφοῦ τοῦ κυρίου τοῖς πιστοῖς παρατεθειμένη καὶ προστεθειμένη, ἐν οἷς λέγει. ἀσθενεῖ τις ἐν ὑμῖν, προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτόν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ κυρίου. καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ κύριος. κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσονται αὐτῷ. δι' ὧν ῥημάτων, καθὼς ἐκ τῆς ἀποστολικῆς παραδόσεως κατὰ διαδοχὴν παραδε-

δειχθείσης ἐδιδάχθη ἡ ἐκκλησία, διδάσκει τίς ἥτε ὕλη καὶ τίς ὁ εἰδοποιὸς λόγος, καὶ τίς ὁ κυρίως ὑπηρέτης, καὶ τί τὸ ἐνέργημα τοῦ σωτηριώδους μυστηρίου τούτου. κατέμαθε γὰρ ἡ ἐκκλησία ὕλην μὲν εἶναι τὸ ἔλαιον ὑπὸ ἐπισκόπου ηὐλογημένον. ἡ γάρ τοι χρίσις ἐπιτηδειότατα τὴν τοῦ ἁγίου πνεύματος χάριν ᾗ τοῦ ἀσθενοῦντος ἡ ψυχὴ ἀοράτως ἐγχρίεται, παρίστησι. λόγον δὲ εἰδοποιὸν, τὰ ῥήματα ἐκεῖνα. διὰ ταύτης τῆς χρίσεως, καὶ τὰ ἐφεξῆς ἐπιλεγόμενα.

Περὶ τοῦ ἐνεργήματος τοῦ μυστηρίου τούτου.

κεφ. β΄.

Τὸ δὲ δὴ πρᾶγμα καὶ τὸ ἐνέργημα τοῦ μυστηρίου τούτου, δι᾽ ἐκείνων τῶν ῥημάτων ἐκφράζεται. καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσονται αὐτῷ. τὸ γὰρ πρᾶγμα τοῦτο, ἡ χάρις ἐστὶ τοῦ ἁγίου πνεύματος, οὗ ἡ χρίσις εἴτινα ἔτι εἰσὶν ἱλάσκεσθαι δεόμενα πλημμελήματα ἔτι δὲ τὰ τῆς ἁμαρτίας λείψανα ἀπομάσσει, καὶ τὴν τοῦ κάμνοντος ψυχὴν ἐλαφρύνει καὶ στηρίζει, μεγάλην ἐν αὐτῷ τῶν τοῦ θεοῦ οἰκτιρμῶν πεποίθησιν ἀνεγείρουσα. ᾗ ὁ κάμνων ἀνακουφισθεὶς, τά τε τῆς νόσου δυσχερῆ καὶ τοὺς κόπους ἐλαφρότερον φέρει· καὶ τοῖς τοῦ διαβόλου τῇ πτέρνῃ ἐπιβουλεύοντος πειρασμοῖς ῥᾷον ἀνθίσταται, καὶ τῆς τοῦ σώματος ἐνίοτε ἐὰν οὕτω τῇ ψυχῇ συμφέρει, ὑγιείας τυγχάνει.

Περὶ τοῦ τὸ μυστήριον τοῦτο διακονοῦντος ὑπηρέτου, καὶ περὶ τοῦ καιροῦ καθ᾽ ὃν προσήκει δίδοσθαι. κεφ. γ΄.

Λοιπὸν δὲ ὅσον εἰς τὴν διαταγὴν ἀνήκει τῶν τε ὑποδεξομένων καὶ τῶν διακονησόντων τὸ μυστήριον τοῦτο, οὐκ ἀμυδρῶς κἀκεῖνο ἐν τοῖς προεκτεθεῖσι τοῦ ἀποστόλου ῥήμασι παραδέδοται. δείκνυται γὰρ ἐκεῖ, ὅτι γνήσιοι τοῦ μυστηρίου τούτου ὑπηρέται εἰσὶν οἱ τῆς ἐκκλησίας πρεσβύτεροι. διὰ τοῦ

τῶν

τῶν πρεσβυτέρων ὀνόματος ἐνταῦθα, οὐ τῶν τῇ ἡλικίᾳ γεραιτέρων ἢ προεχόντων ἐν τῷ λαῷ ἀκουομένων, ἀλλ' ἤτοι τῶν ἐπισκόπων, ἢ τῶν ὑπ' αὐτῶν νομίμως χειροτονηθέντων μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. ἔτι δὲ μὴν ἐμφανίζεται τοῖς κάμνουσι δεῖν τὴν χρῖσιν ταύτην προσφέρεσθαι, καὶ μάλιστα τοῖς οὕτως ἐπικινδύνως κατακειμένοις ὥς τε δοκεῖν ἐν ἐξόδῳ τῆς ζωῆς καθεστάναι, ὅθεν καὶ ἐξοδευόντων μυστήριον ὀνομάζεται. εἰ δέ γε μετὰ τὴν τῆς χρίσεως ταύτης ὑποδοχὴν ὑγιασθῶσιν οἱ κάμνοντες, ἐξαῦθις τῇ τοῦ μυστηρίου τούτου βοηθείᾳ ὠφεληθῆναι δυνήσονται, ὁσάκις ἂν ὁμοίῳ κινδύνῳ περιπέσωσι. διόπερ οὐδενὶ τρόπῳ προσεκτέον ἐστὶ τοῖς κατέναντι τῆς οὕτω προφανοῦς γνώμης τοῦ ἀποστόλου Ιακώβου διδάσκουσιν, ὅτι πλάσμα ἀνθρώπινον ἐστὶν ἡ χρῖσις τοῦ ἁγίου ἐλαίου, ἢ ὅτι παρὰ τῶν πατέρων παραδεδεγμένον ἔθιμον ἐστὶν, οὔτε δὲ θεοῦ παραγγελίαν οὔτε χάριτος ἐπαγγελίαν ἔχον. οὐδὲ τοῖς διαβεβαιουμένοις πεπαῦσθαι ἤδη αὐτὸ, ὡς εἰ καὶ πρὸς τὸ τῶν ἰαμάτων χάρισμα μόνον ἐν τῇ ἀρχαίᾳ ἐκκλησίᾳ ὤφειλεν ἀναφέρεσθαι. οὔτε τοῖς τὴν τελετὴν καὶ τὸ ἔθος τὸ ὑπὸ τῆς Ρωμαϊκῆς ἁγίας ἐκκλησίας κατὰ τὴν τοῦ μυστηρίου τούτου διακονίαν φυλαττόμενον τῇ γνώμῃ τοῦ ἁγίου Ιακώβου ἐναντιοῦσθαι φάσκουσι, καὶ διὰ τοῦτο εἰς ἕτερα μεταλλάξαι προσήκειν. καὶ τὸ τελευταῖον, οὐδὲ τοῖς τὴν ἐσχάτην ταύτην χρῖσιν ἐκτὸς ἁμαρτίας ὑπὸ τῶν πιστῶν ἐξεῖναι παρορᾶσθαι διαβεβαιουμένοις. ταῦτα γάρ τοι πάντα τοῖς τοῦ μεγάλου ἀποστόλου τούτου ἐναργέσι ῥήμασι προφανέστατα μάχονται. οὐδὲ γὰρ ἡ κατὰ Ρώμην ἐκκλησία ἡ πασῶν τῶν ἄλλων ἐκκλησιῶν μήτηρ καὶ διδάσκαλος ἄλλο τι κατὰ τὴν οἰκονομίαν τῆς χρίσεως ταύτης (ὅσον εἰς τὰ τὴν οὐσίαν τοῦ μυστηρίου τούτου συμπληροῦντα) ἐπιτηδεύει, παρ' ὃ ὁ μακάριος Ιάκωβος διωρίσατο. ἀλλ' οὐδὲ τὸ τοῦ τοσούτου μυστηρίου καταφρονεῖν, ἐκτὸς μεγί-

στου

του μιάσματος καὶ ὕβρεως εἰς τὸ πνεῦμα τὸ ἅγιον ἐγχωρεῖ γίνεσθαι. ἃ πίνυν περί τε τοῦ τῆς μετανοίας καὶ τοῦ τῆς τελευταίας χρίσεως μυστηρίου ἡ ἁγία οἰκουμενικὴ σύνοδος αὕτη ὁμολογεῖ καὶ διδάσκει, καὶ πᾶσι τοῖς ἐν Χριστῷ πιστοῖς κρατεῖν τε καὶ πιστεύειν προστίθησι, ταῦτ᾽ ἐστί. τοὺς δέ γε ἐφεξῆς κανόνας ἀχράντως καὶ ἀπαραβάτως τηρητέοις παραδίδωσι, καὶ τοὺς τἀναντία φάσκοντας ἐσαεὶ κατακρίνει καὶ ἀναθεματίζει.

Περὶ τοῦ ἁγιωτάτου τῆς μετανοίας μυστηρίου.

Κανὼν πρῶτος.

Εάν τις εἴπῃ τὴν μετάνοιαν μὴ εἶναι ἀληθινῶς καὶ κυρίως μυστήριον ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ὑπὸ τοῦ δεσπότου ἡμῶν Χριστοῦ νομοθετηθὲν ἐπὶ τῷ τοὺς πιστοὺς ὁσάκις ἂν μετὰ τὸ βάπτισμα εἰς τὸ ἁμαρτάνειν ὀλισθαίνωσιν, αὐτῷ τῷ θεῷ διαλλάττειν, ἀνάθεμα ἔστω.

Κανὼν β'.

Εάν τις τὰ μυστήρια συγχέων εἴπῃ αὐτὸ τὸ βάπτισμα μετανοίας εἶναι μυστήριον, ὡς εἰ καὶ τὰ δύο ταῦτα μὴ ἦσαν ἀλλήλων διεσταλμένα, καὶ διὰ τοῦτο μὴ ὀρθῶς τὴν μετάνοιαν, δευτέραν μετὰ τὸ ναυάγιον σανίδα εἴπῃ προσαγορεύεσθαι, ἀνάθεμα ἔστω.

Κανὼν γ'.

Εάν τις τὰ ῥήματα ἐκεῖνα τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν, λάβετε πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται, εἴπῃ μὴ περὶ τῆς ἐξουσίας τοῦ ἀφιέναι καὶ κρατεῖν τὰς ἁμαρτίας κατὰ τὸ τῆς μετανοίας μυστήριον ἐκληπτέον εἶναι, καθὼς ἡ καθολικὴ ἐκκλησία ἐξ ἀρχῆς ἀεί ποτε ἐξέλαβε, διαστρέψῃ δὲ κατὰ τῆς τοῦ μυστηρίου τούτου διατάξεως εἰς τὴν τοῦ κηρύττειν τὸ εὐαγγέλιον ἐξουσίαν, ἀνάθεμα ἔστω.

Κανὼν δ'.

Εάν τις ἀρνήσηται μὴ οὐ πρὸς ὁλόκληρον καὶ τελείαν τῶν ἁμαρτημάτων ἄφεσιν τρία ἐν τῷ μετανοοῦντι ἀπαιτεῖσθαι (οἷά τινα ὕλην τοῦ τῆς μετανοίας μυστηρίου) τὴν

σύν

σύντριψιν δηλονότι καὶ τὴν ἐξομολόγησιν καὶ τὴν ἱκανοποιΐαν, ἃ δὴ καὶ τρία μέρη τῆς μετανοίας εἶναι λέγονται. ἢ ἐὰν τις εἴπη δύο μόνον εἶναι μέρη τῆς μετανοίας, τὰ προσβάλλοντα δηλονότι τῇ συνειδήσει δείματα μετὰ τὴν τῆς ἁμαρτίας ἐπίγνωσιν, καὶ τὴν συνειλημμένην πίστιν ἐκ τοῦ εὐαγγελίου ἢ ἐκ τῆς ἀπολύσεως, ᾗ πιστεύει τις διὰ Χριστὸν ἀφεῖσθαι οἱ τὰς ἁμαρτίας, ἀνάθεμα ἔστω.

Κανὼν έ.

Ἐάν τις εἴπη τὴν σύντριψιν ἐκείνην ἥτις δι' ἐξετασμοῦ τε καὶ συλλογῆς καὶ βδελυγμίας τῶν ἁμαρτιῶν ἑτοιμάζεται, ᾗ ἀναλογίζεταί τις τὰ ἔτη αὐτοῦ ἐν πικρίᾳ καρδίας αὐτοῦ, σταθμώμενος τό τε βάρος, καὶ τὸ πλῆθος καὶ τὴν αἰσχρότητα τῶν ἁμαρτιῶν αὐτοῦ, τήν τε ἀποβολὴν τῆς ἀϊδίου μακαριότητος, καὶ τῆς αἰωνίου κολάσεως τὴν περίπτωσιν, μετὰ προθέσεως βίου βελτίονος, μὴ εἶναι ἀληθινὴν καὶ ὠφέλιμον λύπην, μηδὲ πρὸς τὸ τῆς χάριτος τυχεῖν παρασκευάζειν. ὑποκριτὴν μὲν οὖν γε καὶ μᾶλλον ἁμαρτωλὸν ἀποτελεῖν τὸν ἄνθρωπον. καὶ τέλος, κατηναγκασμένην ἀλλ' οὐκ ἐλευθέραν καὶ ἐθελούσιον λύπην αὐτὴν εἶναι, ἀνάθεμα ἔστω.

Κανὼν ϛ'.

Ἐάν τις ἀρνήσηται τὴν μυστηριακὴν ἐξομολόγησιν μὴ οὐ θείῳ νόμῳ ἢ διαταχθῆναι, ἢ ἀναγκαίαν εἰς σωτηρίαν εἶναι, ἢ εἴπη τὸν τοῦ κρυφίως τῷ ἱερεῖ μόνῳ ἐξομολογεῖσθαι τρόπον (ὃν ἡ καθολικὴ ἐκκλησία ἐξ ἀρχῆς ἀεὶ διετήρησέ τε καὶ διατηρεῖ) ἀλλότριον τῆς τοῦ Χριστοῦ διατάξεώς τε καὶ ἐντολῆς καὶ ἀνθρώπινον εὕρημα εἶναι, ἀνάθεμα ἔστω.

Κανὼν ζ'.

Ἐάν τις εἴπη ὅτι ἐν τῷ μυστηρίῳ τῆς μετανοίας οὐκ ἔστι θείῳ νόμῳ ἀναγκαῖον πρὸς ἄφεσιν τῶν ἁμαρτιῶν τὸ πάντα καὶ ἕκαστα τὰ θανάσιμα ἁμαρτήματα ἐξαγορεύειν ὅσα μετὰ τὴν ἀκριβῆ καὶ προσήκουσαν προμελέτησιν εἰς μνήμην ἔλθωσι, καὶ αὐτὰ ἔτι μὴν τὰ κρύφια καὶ κατὰ τῶν δύο τῶν

τελευ

τελευταίων τοῦ δεκαλόγου παραγγελμάτων ὄντα, καὶ τὰς περιστάσεις δὲ ὅσαι τὸ εἶδος τοῦ ἁμαρτήματος μεταβάλλουσιν, ἀλλὰ μόνον πρὸς τὸ μαθητεῦσαι καὶ παραμυθεῖσθαι τὸν μετανοοῦντα συμφέρειν τὴν ἐξομολόγησιν ταύτην. πάλαι δὲ τετηρῆσθαι πρὸς μόνον τὸ κατὰ τοὺς κανόνας τὰ τῆς ἱκανοποιΐας ἐπιτίμια ἐπιτιθέναι. ἢ ἐὰν εἴπῃ ὅτι οἱ πάντα τὰ ἑαυτῶν ἁμαρτήματα ἐξαγορεύειν σπουδάζοντες, οὐδὲν καταλιπεῖν βούλονται τῷ τοῦ θεοῦ οἰκτιρμῷ εἰς συγγνώμην. καὶ τέλος, μὴ ἐξεῖναι περὶ τῶν συγγνωστῶν ἁμαρτημάτων ἐξομολογεῖσθαι, ἀνάθεμα ἔστω.

Κανὼν η′.

Εάν τις εἴπῃ τὴν ἁπάντων τῶν ἁμαρτημάτων ἐξομολόγησιν ὁποίαν ἡ ἐκκλησία τηρεῖ, ἀδύνατον εἶναι γενέσθαι, καὶ παράδοσιν ἀνθρωπίνην ὑπὸ τῶν εὐσεβῶν ἐξαλειπτέαν εἶναι. ἢ μὴ ἐνέχεσθαι αὐτῇ πάντα καὶ ἕκαστον τῶν ἑκατέρου γένους χριστωνύμων πιστῶν κατὰ τὴν τῆς ἐν Λατεράνῳ μεγάλης συνόδου διάταξιν ἅπαξ τοῦ ἐνιαυτοῦ, καὶ διὰ τοῦτο πεῖσαι δεῖν τοὺς χριστωνύμους πιστοὺς μὴ κατὰ τὸν τῆς τεσσαρακοστῆς καιρὸν ἐξομολογεῖσθαι, ἀνάθεμα ἔστω.

Κανὼν θ′.

Εάν τις εἴπῃ τὴν παρὰ τοῦ ἱερέως διδομένην μυστηριακὴν ἀπόλυσιν μὴ εἶναι δικαστικὴν πρᾶξιν, ἀλλὰ ψιλὴν ὑπηρεσίαν τοῦ καταγγέλλειν καὶ μηνύειν ἀφεῖσθαι τὰς ἁμαρτίας τῷ ἐξομολογουμένῳ, ἐὰν μόνον πιστεύῃ ἑαυτὸν ἀπολελύσθαι, εἰ καὶ ὁ ἱερεὺς μὴ σπουδῇ ἀλλὰ παίζων ἀπολύῃ. ἢ εἴπῃ μὴ ἀπαιτεῖσθαι τὴν τοῦ μετανοοῦντος ἐξομολόγησιν, ὅπως ἔχῃ ὁ ἱερεὺς ἀπολῦσαι αὐτόν, ἀνάθεμα ἔστω.

Κανὼν ι′.

Εάν τις εἴπῃ τοὺς θανασίμῳ ἁμαρτίᾳ ἐνεχομένους ἱερεῖς, μὴ ἔχειν ἐξουσίαν τοῦ τε δῆσαι καὶ τοῦ λῦσαι, ἢ μὴ μόνους τοὺς ἱερεῖς εἶναι τῆς ἀπολύσεως ὑπηρέτας, ἀλλὰ πᾶσι τοῖς χριστωνύμοις πιστοῖς εἰρημένον εἶναι τό, ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς,

ἔσαι λελυμένα ἐν τῷ οὐρανῷ. καὶ τὸ, ἄν τινων ἀφῆτε τὰς ἁ-
μαρτίας, ἀφίενται αὐτοῖς, καὶ ἄν τινων κρατῆτε, κεκράτηνται.
καὶ τῇ τούτων τῶν ῥημάτων δυνάμει ὁντινοῦν δύνασθαι ἀ-
πολύσαι τὰ ἁμαρτήματα. τὰ μὲν δημόσια, διὰ μόνης παι-
δεύσεως, ἐὰν ὁ παιδευθεὶς ἐφησυχάσῃ. τὰ δὲ κρύφια, δι' αὐ-
θαιρέτου ἐξομολογήσεως, ἀνάθεμα ἔστω.

Κανὼν ια'.

Ἐάν τις εἴπῃ τοὺς ἐπισκόπους μὴ ἔχειν ἐξουσίαν τοῦ ὑπο-
θέσεις τινὰς ἑαυτοῖς ἀποτίθεσθαι, πλὴν ἐφ' ὅσον ἐς τὴν ἔξω
πολιτείαν. καὶ διὰ τοῦτο τὴν τοιαύτην τῶν ὑποθέσεων ἀπό-
θεσιν οὐδὲν κωλύειν μὴ οὐ καὶ τοὺς ἱερεῖς ἀπὸ τῶν τοῖς ἐπι-
σκόποις ἀποκειμένων ἐγκλημάτων τούτων ἀληθῶς ἀπο-
λύειν δύνασθαι τοὺς μετανοοῦντας, ἀνάθεμα ἔστω.

Κανὼν ιβ'.

Ἐάν τις εἴπῃ τὴν ποινὴν ὅλην σὺν τῷ πταίσματι παρὰ
τοῦ θεοῦ ἀφίεσθαι ἑκάστοτε, τὴν δὲ ἱκανοποιίαν τῶν μετανοούν-
των οὐδὲν ἄλλ' ἢ τὴν πίστιν εἶναι, ᾗ καταλαμβάνουσι τὸν Χρι-
στὸν ὑπὲρ αὐτῶν ἱκανοπεποιηκέναι, ἀνάθεμα ἔστω.

Κανὼν ιγ'.

Ἐάν τις εἴπῃ μηδοτιοῦν τῷ θεῷ ὑπὲρ τῶν ἁμαρτιῶν, τό γε
κατὰ τὴν πρόσκαιρον κόλασιν, ἱκανὸν διὰ τῆς τοῦ Χριστοῦ ἀ-
ξίας γίνεσθαι ἐκ τῶν ὑπ' αὐτοῦ προστριβομένων ποινῶν καὶ
ὑπομενετικῶς καρτερουμένων ἢ ἐκ τῶν ὑπὸ τοῦ ἱερέως ἐπι-
τιθεμένων, ἀλλ' οὐδ' ἐξ ὧν αὐθαιρέτως ἀναδεχόμεθα, οἷον
νηστειῶν, προσευχῶν, ἐλεημοσυνῶν, ἢ ἑτέρων εὐσεβείας ἔρ-
γων, καὶ διὰ τοῦτο ἀρίστην μετάνοιαν μόνον εἶναι τὴν καινὴν
ζωήν, ἀνάθεμα ἔστω.

Κανὼν ιδ'.

Ἐάν τις εἴπῃ τὰς ἱκανοποιίας, αἷς οἱ μετανοοῦντες διὰ
Χριστοῦ Ἰησοῦ ἐξαγοράζουσι τὰς ἁμαρτίας, μὴ εἶναι θεοῦ λα-
τρείας ἀλλ' ἀνθρώπων παραδόσεις, τὴν περὶ τῆς χάριτος δι-
δασκαλίαν καὶ τὴν ἀληθινὴν τοῦ θεοῦ λατρείαν καὶ αὐτὴν τὴν

ἐκ τοῦ

ἐκ τοῦ θανάτου τοῦ Χριστοῦ εὐεργεσίαν ἀμαυρώσας, ἀνάθεμα ἔστω.

Κανὼν ιε'.

Ἐάν τις εἴπῃ, πρὸς μόνον τὸ λύειν, οὐκ ἔτι δὲ καὶ πρὸς τὸ δεσμεύειν δοθῆναι τὰς κλεῖς τῇ ἐκκλησίᾳ. καὶ διὰ τοῦτο τοὺς ἱερέας ἐν τῷ τὰ ἐπιτίμια τοῖς ἐξομολογουμένοις ἐπιτιθέναι παρὰ τὸν σκοπὸν τῶν κλειδῶν καὶ τὴν τοῦ Χριστοῦ διάταξιν πράττειν. ἐπίπλαστόν δέ τι εἶναι τὸ τῇ τῶν κλειδῶν δυνάμει ἀρθείσης τῆς ἀϊδίου κολάσεως τὴν πρόσκαιρον ζημίαν ὡς ἐπὶ τὸ πλεῖστον ἀποτιστέαν ὑπολείπεσθαι, ἀνάθεμα ἔστω.

Περὶ τοῦ μυστηρίου τῆς τελευταίας χρίσεως.

Κανὼν α'.

Ἐάν τις εἴπῃ τὴν τελευταίαν χρίσιν μὴ ἀληθινῶς καὶ κυρίως εἶναι μυστήριον ὑπὸ μὲν τοῦ δεσπότου ἡμῶν Χριστοῦ διαταχθὲν, ὑπὸ δὲ τοῦ μακαρίου ἀποστόλου Ἰακώβου προστεθὲν, ἀλλὰ μόνον ἔθιμον ὑπὸ τῶν πατέρων παραδεχθὲν, ἢ ἀνθρώπινον πλάσμα, ἀνάθεμα ἔστω.

Κανὼν β'.

Ἐάν τις εἴπῃ τὴν τῶν ἀσθενούντων ἱερὰν χρίσιν μὴ χορηγεῖν τὴν χάριν μηδὲ ἀφιέναι τὰς ἁμαρτίας μηδὲ κουφίζειν τοὺς κάμνοντας. ἀλλ᾽ ἤδη πεπαῦσθαι, ὡς εἰ καὶ πάλαι μόνον ὑπῆρχε τὸ τῶν ἰαμάτων χάρισμα, ἀνάθεμα ἔστω.

Κανὼν γ'.

Ἐάν τις εἴπῃ τὴν τῆς τελευταίας χρίσεως τελετήν τε καὶ χρῆσιν, ἣν ἡ Ῥωμαϊκὴ ἁγία ἐκκλησία τηρεῖ, μάχεσθαι τῇ τοῦ ἁγίου ἀποστόλου γνώμῃ. διὸ καὶ μεταβλητέαν εἶναι. δύνασθαί τε παρὰ τῶν χριστιανῶν χωρὶς ἁμαρτίας παρορᾶσθαι, ἀνάθεμα ἔστω.

Κανὼν δ'.

Ἐάν τις τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, οὓς ὁ μακάριος ἀπόστολος Ἰάκωβος πρὸς τὸ τὸν ἀσθενοῦντα ἀλείφειν προσάγεσθαι παρακαλεῖ, μὴ τοὺς ἱερεῖς εἶναι φήσει τοὺς ὑπὸ ἐπισκόπου κεχειροτονημένους, ἀλλὰ τοὺς γεραιτέρους καὶ

προβεβηκότας τῇ ἡλικίᾳ ἐν ὁποιᾳοῦν πολιτικῇ κοινωνίᾳ. καὶ διὰ τοῦτο τῆς τελευταίας χρίσεως ἰδικὸν ὑπηρέτην οὐκ εἶναι μόνον τὸν ἱερέα, ἀνάθεμα ἔστω.

ΠΕΡΙ ΤΗΣ ΙΕʹ ΠΡΑΞΕΩΣ ἐν συνάψει.

Η ιεʹ πρᾶξις πέμπτη οὖσα τῶν ἐπὶ Ιουλίου γʹ. γινομένων, ἐγένετο τῇ κεʹ Ιανουαρίου μηνὸς, ἔτει ͵αφνβʹ. προέκειτο δὲ διαλεχθήσεσθαι κατ' αὐτὴν περί τε τῆς ἁγιωτάτης κατὰ τὴν λειτουργίαν θυσίας, καὶ περὶ τοῦ μυστηρίου τῶν ἱερῶν χειροτονιῶν τοῦ ἱερατικοῦ τάγματος. ἔτι δὲ καὶ περὶ τῶν τεσσάρων ζητημάτων τῶν εἰς τὸ σεβασμιώτατον μυστήριον τῆς εὐχαριστίας ἀνηκόντων. ἐπεὶ δὲ αἱρεσιῶταί τινες τοῦ Γερμανικοῦ ἔθνους, οἳ Προτεστάντας ἑαυτοὺς ὠνόμαζον, οἷς καὶ πρότερον κατὰ τὴν ιγʹ. δηλονότι πρᾶξιν, δημοσίαν πίστιν σάλβον κονδούκτον καλουμένην ἡ σύνοδος εἰς τὸ ἐλεύθερος καὶ χωρὶς ἀναβολῆς ἐλθεῖν χαρισαμένη, εἰς τοῦτο χρόνου τὴν περὶ τῶν προσεχῶς εἰρημένων πραγματειῶν πρᾶξιν ἀναβεβλήκει, τέως οὔπω παραγεγόνεισαν, καὶ ὅμως ἀπ' ὀνόματος αὐτῶν ἐδεήθησάν τινες τῆς συνόδου, ἵνα ἣ κατὰ ταύτην τὴν πρᾶξιν ἔμελλεν γενήσεσθαι, ἐς τὴν ἐπιοῦσαν ἀναβληθῶσιν. ἔτι δὲ καὶ πλατύτερον ἐνδόσιμον καὶ δημοσία πίστις διὰ συνοδικοῦ γράμματος αὐτοῖς δοθῇ. διὰ τοῦτο ἡ αὐτὴ σύνοδος κοινῇ γνώμῃ τῶν τε τοῦ Πάπα Ληγάτου τε καὶ Νουγκίων, καὶ τῶν παρόντων πατέρων πάντων ὑπέσχετο φιλανθρώπως τε αὐτοὺς ὑποδέξεσθαί τε καὶ ἀκροάσεσθαι. ἔτι δὲ καὶ τὴν περὶ τῶν εἰρημένων πραγματειῶν σκέψιν, ἥτις εἰς ταύτην τὴν ἡμέραν κατήγγελτό τε καὶ ἔμελλε γενήσεσθαι, εἰς τὴν τοῦ μακαρίου Ιωσὴφ ἑορτάσιμον ἡμέραν ἐννεακαιδεκάτην οὖσαν Μαρτίου μηνὸς τοῦ αὐτοῦ ἔτους ͵αφνβʹ ἀνεβάλετο. καθ' ἣν

τὴν πρᾶξιν καὶ περὶ τοῦ μυστηρίου τοῦ κατὰ τὸν τίμιον γάμον συνοικεσίου πρακτέον εἶναι ἔγνω. περὶ ὧν ὅμως οὐδὲν ἐπράχθη ἐπὶ Ἰουλίου τρίτου, ἀλλ᾽ ὕστερον ἐπὶ Πίου τετάρτου. ὡς ἐν τοῖς ἑξῆς φανεῖται. τοῦ δὲ κατὰ τὴν προκειμένην ιέ πρᾶξιν δοθέντος τοῖς Προτεστάνταις ἑαυτοὺς ὀνομάζουσι Γερμανοῖς συνοδικοῦ ἐνδοσίμου καὶ δημοσίας πίστεως σαλβοκονδούκτου καλουμένης ὁ μὲν σκοπὸς ὡς ἐν ὀλιγίστοις πλεῖστα περιλαβεῖν, ὁ αὐτός ἐστι τῷ τοῦ κατὰ τὴν ιγ΄ πρᾶξιν τοῖς αὐτοῖς συγχωρηθέντος, ἄδειαν δηλονότι καὶ ἀσφάλειαν ἐκείνοις εἶναι τοῦ τε ἐλθεῖν καὶ ἀπελθεῖν καὶ ἐνδιατρίβειν ἀζημίως τῇ Τριδεντίνων πόλει. ἔτι δὲ καὶ συζητεῖν τοῖς κατὰ τὴν σύνοδον πατράσι, καὶ παῤῥησιαστικῶς διαλέγεσθαι περὶ ὧν ἂν βούλωνται. ἐκτέταται δὲ εἰς λόγου μῆκος τὸ γράμμα τοῦτο διὰ τὸ κατ᾽ αὐτὸ λεπτομερέστερον καὶ πλατύτερον ἢ κατὰ τὸ ῥηθὲν τῆς ιγ΄ πράξεως ἕκαστα ἐκπεφράσθαι.

ΠΕΡΙ ΤΗΣ Ιϛ΄ ΠΡΑΞΕΩΣ ΕΚΤΗΣ οὔσης καὶ τελευταίας τῶν ἐπὶ Ἰουλίου γενομένων ἐν ἐπιτομῇ.

Η ιϛ΄. πρᾶξις ἕκτη οὖσα καὶ τελευταία τῶν ἐπὶ Ἰουλίου τρίτου γενομένων, ἐγένετο κατὰ κή Ἀπριλλίου μηνὸς, ἔτει α φ ν β΄ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως. καθ᾽ ἣν οὐδὲν ἄλλ᾽ ἢ τὸ τῆς καλουμένης σουσπενσιῶνος τῆς συνόδου δόγμα διηνέχθη. ἐν ᾧ πρῶτον μὲν ἡ περὶ τὴν τῆς συνόδου ταύτης ἄθροισιν ἐπιμέλεια καὶ σπουδὴ τῶν ἄκρων ἀρχιερέων Παύλου τρίτου καὶ Ἰουλίου τρίτου. ἔπειτα τὰ τὴν καλουμένην σουσπενσιῶνα τῆς συνόδου, οἱ κατὰ τὴν Γερμανίαν δηλονότι τότε συστάντες πόλεμοι, καὶ ἡ τῶν τοῦ Γερμανικοῦ ἔθνους ἐπισκόπων ἀναχώρησις ἐκφράζεται. ἐπὶ δύο μὲν οὖν ἔτη κατηγγέλθη ἔσεσθαι τὴν τῆς συνόδου σουσπενσιῶνα. ἐφ᾽ ᾧ τε

μέν τοι

μένοι εἰ ἐὰν καὶ πρότερον παύσηται τὰ αἴτια τῆς συναπεισιῶνος, ἐν αὐτῷ τούτῳ χρόνῳ πάλιν ἀναληφθῆναι τὴν σύνοδον. εἰ δὲ μή, κἂν γοῦν ὅτε πρῶτον ἐγχωρήσῃ. ἔχει δὲ ἐπὶ τέλει καὶ παρακέλευσιν πρὸς τοὺς ἑκασταχοῦ μεγιστᾶνας καὶ τοὺς προεστῶτας τῶν ἐκκλησιῶν, ὅπως τὰ μέχρι τοῦ δὲ πεπραγμένα τῇ συνόδῳ, ἐν τῇ ἑαυτοῦ ἕκαστος ἐπικρατείᾳ τηρεῖσθαι ποιήσωσι. γενομένης δὲ ἀντιλογίας καὶ διαμαρτυρείας παρά τινων, ὅμως ἐκράτησε τὸ δόγμα. Μετὰ δὲ ταῦτα μέχρι τοῦ ,αφνε΄ τῆς ἐνσάρκου οἰκονομίας ἐπιβιώσαντος Ιουλίου τρίτου, ἤργησε πάντα τὸν μεταξὺ τοῦτον χρόνον ἡ σύνοδος. ἀπελθόντων τῶν πλείστων ἐπισκόπων, καὶ ἄλλων πολλῶν τῶν εἰς τὴν σύνοδον συνεληλυθότων, ὀλίγων δὲ πάνυ παραμειναίτων. Ιουλίου δὲ τελευτήσαντος, καὶ μετ᾽ αὐτὸν Μαρκέλλου δευτέρου, καὶ μετὰ τοῦτον Παύλου τετάρτου χειροτονηθέντων, ἤργησεν οὐδὲν ἧττον ἡ σύνοδος μέχρι τοῦ ,αφνθ΄ ἔτους τῆς ἐνσάρκου οἰκονομίας. καθ᾽ ὃν χρόνον χειροτονηθέντος Πίου τετάρτου, ἀνεκλήθη αὖθις καὶ ἀποκατέστη ἐν Τριδέντῳ ἡ σύνοδος, καὶ ἐπράχθη τὰ μέχρι τέλους τῆς συνόδου ταύτης, ὡς ἐφεξῆς γέγραπται.

ΠΡΑΞΙΣ ΙΖʹ. ΠΡΩΤΗ ΟΥΣΑ ΤΩΝ ἐπὶ Πίου δʹ ἄκρου ἀρχιερέως, γενομένη Ιανουαρίου μηνὸς ιηʹ ἔτει τῆς τοῦ κυρίου ἐνανθρωπήσεως ,αφξβʹ.

Δόγμα περὶ τοῦ συγκροτεῖσθαι δεῖν τὴν σύνοδον.

Αρέσκει ὑμῖν εἰς αἶνον καὶ δόξαν τῆς ἁγίας καὶ ἀδιαιρέτου τριάδος πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, εἰς ἐπίδοσιν καὶ ὕψωσιν τῆς τῶν χριστιανῶν πίστεώς τε καὶ εὐσεβείας, τὴν ἱερὰν οἰκουμενικὴν σύνοδον τὴν ἐν Τριδέντῳ ἐν πνεύματι ἁγίῳ νομίμως συνελθοῦσαν ἀπὸ τῆς σήμερον ἡμέρας

ὀκτωκαιδεκάτης οὔσης Ἰανουαρίου τοῦ ͵αφνζʹ ἔτους τῆς τοῦ κυρίου ἐνανθρωπήσεως καὶ τῇ κατὰ Ῥώμην καθέδρα τοῦ μακαρίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου ἀφιερωμένης, ἀρθείσης ὁποιασοῦν σουσπενσιῶνος τε καὶ ἀναβολῆς κατὰ τὸν τύπον καὶ τὴν περιοχὴν τῶν γραμμάτων τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου Πίου τετάρτου ἄκρου ἀρχιερέως συγκροτεῖσθαι. φυλαττομένης τε τῆς προσηκούσης τάξεως ἐκεῖνα ἐν αὐτῇ διαλαμβάνεσθαι ὅσα (προστιθέντων τῶν τῆς ἀποστολικῆς καθέδρας λεγάτων τῶν τῆς συνόδου προεδρευόντων) πρὸς τὸ τὰς τῶν χρόνων τούτων συμφορὰς κουφίσαι, καὶ τὰς περὶ τῆς πίστεως καὶ εὐσεβείας διχοστασίας καταπαῦσαι, καθεῖρξαι τε γλώσσας δολίους, καὶ τὰς τῶν διεστραμμένων ἠθῶν καταχρήσεις διορθῶσαι, καὶ τῇ ἐκκλησίᾳ τὴν ἀληθινὴν καὶ χριστιανικὴν εἰρήνην προξενῆσαι, τῇ ἱερᾷ ταύτῃ συνόδῳ πρόσφορα καὶ ἐπιτήδεια εἶναι δόξῃ; Ἀπεκρίθησαν, Ἀρέσκει.

Καταγγελία τῆς ἐπιούσης πράξεως.

Ἀρέσκει ὑμῖν τὴν προσεχῶς ἐσομένην πρᾶξιν γίνεσθαι καὶ συγκροτεῖσθαι δεῖν κατὰ τὴν πέμπτην τῆς δευτέρας ἑβδομάδος τῆς τεσσαρακοστῆς, ἥτις ἔσται κϛʹ τοῦ ἐπιόντος Φεβρουαρίου μηνός; Ἀπεκρίθησαν, Ἀρέσκει.

ΠΡΑΞΙΣ ΙΗʹ ΗΤΙΣ ΕΣΤΙ ΔΕΥΤΕΡΑ τῶν ἐπὶ Πίου δʹ ἄκρου ἀρχιερέως, γενομένη τῇ κϛʹ Φεβρουαρίου μηνός, ἔτει ͵αφξβʹ.

Δόγμα περὶ διακρίσεως καὶ δοκιμασίας βιβλίων, καὶ περὶ τοῦ διὰ δημοσίας πίστεως πάντας εἰς τὴν σύνοδον προσκαλέσασθαι.

Ἡ ἱερὰ καὶ ἁγία οἰκουμενικὴ ἐν Τριδέντῳ σύνοδος ἐν πνεύματι ἁγίῳ νομίμως συνελθοῦσα, προεδρευόντων ἐν

αὐτῇ

αὐτῇ τῶν τῆς ἀποστολικῆς καθέδρας Λεγάτων, οὐκ ἀνθρωπίνῃ δυνάμει πεποιθυῖα, ἀλλὰ τῇ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ στόμα καὶ σοφίαν τῇ ἑαυτοῦ ἐκκλησίᾳ δώσειν ὑποσχομένου ἐπικουρίᾳ τε καὶ βοηθείᾳ θαῤῥοῦσα, ἐκεῖνο προηγουμένως σκοπεῖται ὅπως τὴν τῆς καθολικῆς πίστεως διδασκαλίαν τὴν πολλαχοῦ πολλῶν τινων πρὸς ἑαυτοὺς διαφερομένων δόξαις ἐῤῥυπωμένην τε καὶ ἐσκοτισμένην, εἰς τὴν αὐτῆς ποτε καθαριότητα καὶ λαμπρότητα ἀποκαταστήσῃ, καὶ τὰ ἤθη τῆς πάλαι διδασκαλίας καὶ κανόνας ἐκτραπέντα εἰς κρείττονα διαγωγῆς τρόπον ἀνακαλέσηται. καὶ πατέρων καρδίας ἐπὶ τέκνα, καὶ τέκνων ἐπὶ πατέρας ἐπιστρέψῃ. περὶ πάντων οὖν κατανοοῦσα τῶν ὑπόπτων καὶ ὀλεθρείων βιβλίων, ἐν οἷς ἡ ἀκάθαρτος διδασκαλία περιέχεταί τε καὶ κατὰ μῆκος καὶ πλάτος διασπείρεται, ἐν τῷ νῦν χρόνῳ τὸν ἀριθμὸν ἐπὶ πλεῖστον ἐπιδεδωκέναι. ὃ δὴ καὶ αἴτιον ἐγένετο τοῦ πολλοὺς ἐν διαφόροις τόποις καὶ μάλιστα ἐν Ῥώμῃ ὁσίῳ τινὶ ζήλῳ ἐξετασμοὺς καὶ δοκιμασίας βιβλίων γεγενῆσθαι, καὶ ὅμως οὐδεμίαν σωτηριώδη κατὰ τῆς ὀλεθρείας νόσου ταύτης θεραπείαν συνενηνοχέναι. ἔγνω πρὸς τὴν ἀνάκρισιν καὶ δοκιμασίαν ταύτην ἐκκρίτους τινὰς πατέρας ἐφιστάναι, οἵτινες περὶ τῶν βιβλίων καὶ τῶν περὶ αὐτῶν γινομένων κρίσεων ἀκριβῶς σκέψαιντο, καὶ πρὸς τὴν ἱερὰν σύνοδον ταύτην ἐν καιρῷ εὐθέτῳ ἀναφέρωσιν. ὥστε εὐκοπώτερον αὐτὴν ἔχειν τὰς διαφόρους καὶ ξένας διδασκαλίας ὡσεί τινα ζιζάνια ἀπὸ τοῦ τῆς χριστιανικῆς ἀληθείας σίτου διαχωρίσαι, καὶ περὶ τούτων εὐθετώτερον βουλεύσασθαι, καὶ ἃ πρὸς τὸ τὰ σκάνδαλα ἐκ τῆς τῶν πολλῶν γνώμης ἐξελεῖν καὶ τὰ τῶν πολλῶν μομφῶν αἴτια ἀνελεῖν πρόσφορα εἶναι δόξῃ, ψηφίσασθαι. Ταῦτα δὲ πάντα εἰς τὴν ὁποιωνοῦν ἀνθρώπων γνῶσιν προσαγαγεῖν βούλεται. καὶ δὴ τῷ παρόντι δόγματι τούτῳ προσάγει. ὅπως εἴ τις ὅτῳ δήποτε τρόπῳ ἑαυτῷ προσήκειν

ἡγή-

ἡγήσηται, ἢ τὴν περὶ τῶν βιβλίων καὶ τῆς ἐκείνων δοκιμα-
σίας πραγματείαν, ἢ τὰ περὶ τῶν ἄλλων ὧν ἐν τῷ καθόλου
συγκροτηθέντι τούτῳ ἀθροίσματι διαληφθήσεσθαι προη-
γόρευσεν, ἀναμφισβητήτως κατέχῃ ὅτι φιλοφρόνως ὑπὸ τῆς
ἁγίας συνόδου ἀκουσθήσεται. ἐπεὶ δὲ ἡ αὐτὴ ἁγία σύνοδος
ἐξ ὅλης καρδίας εὔχεται καὶ ἐκτενῶς τὸν θεὸν αἰτεῖται τὰ
πρὸς εἰρήνην τῆς ἐκκλησίας (ὅπως ἅπαντες τὴν κοινὴν
μητέρα ἐπὶ γῆς ἐπιγινώσκοντες, ἥτις τῶν γεννημάτων αὐτῆς
οὐκ ἐπιλανθάνεται, ὁμοθυμαδὸν καὶ ἑνὶ στόματι δοξάσωμεν
τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ) διὰ τοῦτο
πάντας τοὺς μὴ συγκοινωνοῦντας ἡμῖν διὰ σπλάγχνα ἐλέους
θεοῦ ἡμῶν εἰς ὁμόνοιαν καὶ διαλλαγὴν καὶ ἵνα πρὸς τὴν ἁ-
γίαν ταύτην σύνοδον ἔλθωσι, προσκαλεῖταί τε καὶ προτρέ-
πεται. καὶ τῆς ἀγάπης ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος
ἀντέχωνται, καὶ τὴν τοῦ Χριστοῦ εἰρήνην βραβεύουσαν ἐν ταῖς
καρδίαις αὐτῶν ἐνδεικνύωσι, εἰς ἣν ἐκλήθησαν ἐν ἑνὶ σώ-
ματι. ταύτης οὖν τῆς οὐκ ἀνθρωπίνης, ἀλλὰ τοῦ ἁγίου πνεύ-
ματος φωνῆς ἀκούοντες, μὴ σκληρυνάτωσαν τὰς καρδίας
αὐτῶν, ἀλλ᾽ ἐν τῷ ἰδίῳ νοῒ μὴ περιπατοῦντες μηδὲ ἑαυτοῖς
ἀρέσκοντες, πρὸς τὴν οὕτως ὁσίαν καὶ σωτηριώδη τῆς ἑαυτῶν
μητρὸς νουθεσίαν διεγειρέσθωσαν καὶ ἐπιστραφήτωσαν. ἡ γάρ
τοι σύνοδος αὐτοὺς πάσῃ ἀγάπῃ καθὼς προσκαλεῖται, οὕ-
τω καὶ ὑποδέξεται.

Καταγγελία τῆς ἐπιούσης πράξεως.

Ἡ αὐτὴ ἱερὰ καὶ ἁγία ἐν Τριδέντῳ σύνοδος ἐν πνεύ-
ματι ἁγίῳ νομίμως συνελθοῦσα, προεδρευόντων ἐν αὐτῇ
τῶν αὐτῶν τῆς ἀποστολικῆς καθέδρας Ληγάτων γινώσκει καὶ
διορίζεται τὴν μετὰ ταύτην πρᾶξιν γίνεσθαι καὶ συγκροτεῖ-
σθαι δεῖν τῇ πέμπτῃ τῆς ἑβδομάδος τῆς μετὰ τὴν ἁγιωτάτην
ἑορτάσιμον ἡμέραν τῆς τοῦ κυρίου ἀναλήψεως, ἥτις ἔσται ιδʹ
Μαΐου μηνὸς ἔτει ͵αφξβ.

Σύνοψις τῶν γινομένων μετὰ τὴν προλαβοῦσαν πρᾶξιν.

Μετὰ τὴν προλαβοῦσαν πρᾶξιν, ἐν τῷ καθόλου συγκροτηθέντι συλλόγῳ τῶν πατέρων προσεκλήθησαν ὀκτωκαίδεκα πατέρες σκεψόμενοι περὶ τῆς ἐκλογῆς καὶ δοκιμασίας τῶν βιβλίων. περὶ ἧς δοκιμασίας εὑρήσεις τὰ γινόμενα πρὸς τῷ τέλει τῆς συνόδου.

Ἐδόθη δὲ καὶ δημοσία πίστις ἡ καλουμένη σαλβοκονδοῦκτος ἐν τῷ καθόλου συγκροτηθέντι συλλόγῳ τῶν πατέρων τοῖς προτεστάντας ἑαυτοὺς ὀνομάζουσι Γερμανοῖς, καὶ τοῖς τῆς ἐν Αὐγούστῃ πόλει τῆς Γερμανίας γινομένης ὁμολογίας μετέχουσι· ἔτι δὲ καὶ πᾶσι τοῖς κατὰ πᾶν ἔθνος μὴ συγκοινωνοῦσι τῇ καθολικῇ ἐκκλησίᾳ τοῦ αὐτοῦ τύπου καὶ περιοχῆς τῆς κατὰ τὴν ιγ΄ καὶ ιε΄ πρᾶξιν τοῖς αὐτοῖς τούτοις δοθεῖσιν ὡς εἴρηται.

ΠΕΡΙ ΤΗΣ ΙΘ΄ ΠΡΑΞΕΩΣ Γ΄ ΟΥΣΗΣ τῶν ἐπὶ Πίου δ΄ κατ᾽ ἐπιτομήν.

Ἡ ιθ΄ πρᾶξις γ΄ οὖσα τῶν ἐπὶ Πίου πάπα τετάρτου, ἐγένετο μὲν τῇ ιδ΄ Μαΐου μηνὸς, ἔτει ͵αφξβ΄ περιέχει δὲ δόγμα καθ᾽ ὃ συγχωρεῖται ἡ ὑπέρθεσις τοῦ διορισμοῦ τῶν ἃ ὤφειλε κατὰ τὴν ιθ΄ ταύτην πρᾶξιν διαληφθῆναι περὶ τῆς πίστεως, ἔτι δὲ καὶ περὶ τῆς ἐπανορθώσεως τῶν ἠθῶν· ἃ καὶ εἰς ταύτην ὑπερτεθῆναι λέγεται ἐν τῷ δόγματι διά τινας εὐλόγους αἰτίας. καταγγέλλεται δὲ ὁ περὶ τῶν προειρημένων διορισμὸς ἔσεσθαι κατὰ τὴν πέμπτην τῆς ἑβδομάδος τῆς μετὰ τὴν ἐπιοῦσαν ἐπίσημον ἑορτὴν τοῦ ἁγιωτάτου σώματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν κατ᾽ ἔτος σεμνοπρεπῶς ἄγουσι πάντες οἱ τῇ Ρωμαϊκῇ ἐκκλησίᾳ συγκοινωνοῦντες. ἔχει δὲ καὶ προτροπήν τινα ἐπὶ τέλει τὸ δόγμα τοῦ εὔχεσθαι δεῖν ὑπὲρ τοῦ κατευοδωθῆναι τά τε βουλεύματα καὶ τὰ ἔργα τῆς οἰκουμενικῆς ταύτης συνόδου.

ΠΕΡΙ ΤΗΣ ΕΙΚΟΣΤΗΣ ΠΡΑΞΕΩΣ,
ἥτις ἐστὶ τετάρτη τῶν ἐπὶ Πίου πάπα τετάρτου,
κατ' ἐπιτομήν.

Η εἰκοστὴ πρᾶξις δ' οὖσα τῶν ἐπὶ Πίου πάπα τετάρτου, ἐγένετο μὲν ἡμέρα τετάρτη ἱσαμένου Ιουνίου μηνὸς ἔτει ,αφξβ', περιέχει δὲ καὶ αὕτη ἕτερον δόγμα συγχωροῦν τὴν ἀναβολὴν τοῦ διορισμοῦ τῶν καὶ κατὰ περιλαβοῦσαν πρᾶξιν ὑπερτεθεισῶν σκέψεων περὶ τῶν δογμάτων, ἔτι δὲ καὶ τῆς ἐπανορθώσεως τῶν ἠθῶν. περὶ ὧν ἐν ταῖς ἐφεξῆς πράξεσι κατὰ μέρος διώρισται. γέγραπται δὲ ἐν τῷ δόγματι γενέσθαι καὶ νῦν τὴν ὑπέρθεσιν καὶ ἀναβολὴν τοῦ περὶ τούτων διορισμοῦ διὰ πολλάς τινας δυσχερείας ἐκ διαφόρων αἰτίων συμβάσας, ἔτι δὲ καὶ ἵνα ἁρμοδιώτερον καὶ μᾶλλον βεβουλευμένως ἡ περὶ τούτων σκέψις γένοιτο. ἡ δὲ ἐφεξῆς πρᾶξις εἰς τὴν ἑκκαιδεκάτην ἡμέραν τοῦ ἔγγιστα ἐπιόντος Ιουλίου μηνὸς ἔσεσθαι καταγγέλλεται.

ΠΡΑΞΙΣ ΚΑ' ΠΕΜΠΤΗ ΟΥΣΑ ΤΩΝ
ἐπὶ Πίου δ' ἄκρου ἀρχιερέως, γενομένη Ιουλίου
μηνὸς ἡμέρα ις' ἔτει ,αφξβ'.

Διδασκαλία περὶ τῆς ὑφ' ἑκατέρῳ εἴδει κοινωνίας
καὶ περὶ τῆς τῶν μικρῶν παιδίων.

Η ἱερὰ καὶ ἁγία οἰκουμενικὴ ἐν Τριδέντῳ σύνοδος ἐν πνεύματι ἁγίῳ νομίμως συνελθοῦσα, προεδρευόντων ἐν αὐτῇ τῶν αὐτῶν τῆς ἀποστολικῆς καθέδρας Λεγάτων, ἐπειδὴ περὶ τοῦ φρικώδους καὶ ἁγιωτάτου μυστηρίου τῆς εὐχαριστίας ἐν διαφόροις τόποις διάφορα πλάνης τέρατα ταῖς τοῦ πονηροτάτου δαίμονος κακοτεχνίαις συστάντα περιφέρον-

ται, ὅθεν ἔν τισιν ἐπαρχίαις πολλοί τινες τῆς κατὰ τὴν καθολικὴν ἐκκλησίαν πίστεως καὶ ὑπακοῆς ἀφεστηκέναι φαίνονται, ἔγνωκε τὰ ἐς τὴν ὑφ' ἑκατέρῳ εἴδει κοινωνίαν καὶ τὴν τῶν μικρῶν παιδίων ἀνήκοντα ἐν τούτῳ καιροῦ δεῖν ἐξηγεῖσθαι. διόπερ πᾶσι τοῖς χριστωνύμοις πιστοῖς διαγορεύει μηδαμῶς τὸ ἀπὸ τοῦδε περὶ τούτων ἄλλως πιστεύειν ἢ διδάσκειν ἢ κηρύττειν, παρ' ἃ κατὰ τὸ παρὸν τοῦτο δόγμα ἐκπέφρασταί τε καὶ διώρισται·

Ὅτι οἱ λαϊκοὶ καὶ οἱ μὴ λειτουργοῦντες κληρικοὶ οὐκ ἐνέχονται κατὰ θεῖον πρόσταγμα ὑπ' ἀμφοτέροις τοῖς εἴδεσι κοινωνεῖν. κεφ. α'.

Ἡ τοίνυν ἁγία σύνοδος αὕτη ὑπὸ τοῦ ἁγίου πνεύματος (ὅπερ ἐστὶ πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ εὐσεβείας) διδαχθεῖσα, καὶ τῇ τῆς ἐκκλησίας γνώμῃ καὶ συνηθείᾳ ἐπακολουθήσασα, ἀποφαίνεταί καὶ διδάσκει, οὐδενὶ θείῳ προστάγματι ἐνέχεσθαι τοὺς λαϊκοὺς καὶ τοὺς μὴ λειτουργοῦντας κληρικοὺς ὑφ' ἑκατέρῳ εἴδει τῶν τῆς ἁγίας εὐχαριστίας μυστηρίων μεταλαμβάνειν. οὐδαμῶς τε σωζομένης τῆς πίστεως, ἐνδέχεσθαι διστάζειν, μὴ οὐ τὴν ὑφ' ἑτέρῳ εἴδει κοινωνίαν εἰς σωτηρίαν ἐκείνοις ἐξαρκεῖν. κἂν γὰρ ὁ δεσπότης Χριστὸς ὑπὸ τοῖς εἴδεσι τοῦ τε ἄρτου καὶ τοῦ οἴνου τὸ σεβάσμιον τοῦτο μυστήριον διέταξε, καὶ τοῖς ἀποστόλοις παρέδωκεν κατὰ τὸ τελευταῖον δεῖπνον, ὅμως οὐκ εἰς τοῦτο τείνει ἡ διαταγὴ καὶ παράδοσις ἐκείνη ὥστε πάντας τοὺς ἐν Χριστῷ πιστοὺς θεσμῷ κυρίου ἐνέχεσθαι τῷ ἀμφοτέρων τῶν εἰδῶν μεταλαμβάνειν. ἀλλ' οὐ δὲ ἐκ τοῦ ῥητοῦ ἐκείνου παρὰ Ἰωάννῃ ἐκ τοῦ ὀρθῶς συλλέγεται τὴν ἀμφοτέρων τῶν εἰδῶν μετάληψιν ὑπὸ τοῦ κυρίου προστετάχθαι ὁπωσοῦν κατὰ διαφόροις τῶν ἁγίων πατέρων καὶ διδασκάλων ἑρμηνείας ἐκλαμβάνηται τὸ ῥητόν. ὁ γὰρ εἰπών. ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε

ζωὴν

ζωὴν ἐν ἑαυτοῖς. καὶ τόδε εἶπεν. ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου ζήσεται εἰς τὸν αἰῶνα. ὁμοίως ὁ εἰπών. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον. εἶπε καὶ τό. ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. καὶ τέλος ὁ εἰπών. ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ. εἶπεν οὐδὲν ἧττον καὶ τό. ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσει εἰς τὸν αἰῶνα.

Περὶ τῆς ἐξουσίας ἣν ἔχει ἡ ἐκκλησία περὶ τὴν οἰκονομίαν τοῦ μυστηρίου τῆς εὐχαριστίας. κεφ. β'.

Παρὰ δὲ ταῦτα ἐξηγεῖται ἡ σύνοδος τοιαύτην ἀεί ποτε τῆς ἐκκλησίας ὑπάρξαι τὴν ἐξουσίαν, ὥστε ἐν τῇ τῶν μυστηρίων οἰκονομίᾳ (φυλαττομένης μόνον αὐτῶν τῆς οὐσίας) ἐκεῖνα δύνασθαι καθιστάναι καὶ ἀλλάττειν ἃ τῇ τῶν ὑποδεχομένων ὠφελείᾳ ἢ τῷ τῶν μυστηρίων αὐτῶν σεβάσματι κατὰ τὴν τῶν πραγμάτων καὶ χρόνων καὶ τόπων διαφορὰν μᾶλλον συμφέρειν ἡγήσαιτο. τοῦτο δὲ ὁ ἀπόστολος οὐκ ἀδήλως αἰνίξασθαι δοκεῖ, ἐν οἷς λέγει. οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους μυστηρίων θεοῦ. αὐτόν τε ταύτῃ τῇ ἐξουσίᾳ κεχρῆσθαι ἱκανῶς ὁμολογεῖται, κατά τε ἄλλα πολλὰ καὶ κατ' αὐτὸ τὸ μυστήριον τοῦτο, ὅτε διαθέμενος ἔνια περὶ τὴν χρῆσιν αὐτοῦ, τὰ δὲ λοιπά φησι, διατάξομαι ὡς ἂν ἔλθω. διόπερ ἐπιγνώσκουσα ἡ ἁγία μήτηρ ἐκκλησία τὴν ἑαυτῆς περὶ τὴν οἰκονομίαν τῶν μυστηρίων αὐθεντίαν, κἂν περὶ τὰς ἀρχὰς τῆς χριστιανικῆς εὐσεβείας οὐ σπανία ἦν ἡ χρῆσις τῆς ὑφ' ἑκατέρῳ εἴδει κοινωνίας, ὅμως ἐπειδὴ προϊόντος τοῦ χρόνου ἤδη κατὰ πλεῖστα μέρη ἡ συνήθεια ἐκείνη μετημείπται, ἀξιολόγοις καὶ δικαίαις αἰτίαις προαχθεῖσα ἡ ἐκκλησία, τὴν τοῦ ὑφ' ἑτέρῳ εἴδει κοινωνεῖν συνήθειαν ἀπεδέξατό τε καὶ συνῄνεσε, καὶ ἐν νόμου τάξει ἔχειν διέγνωκεν. ἣν ἀθετῆσαι ἢ χωρὶς τῆς αὐθεντίας τῆς αὐτῆς ἐκκλησίας κατὰ τὸ ἑκάστῳ ἀρέσκον μετακινεῖν οὐκ ἔξεστι.

Ὅτι τέλειον καὶ ὁλόκληρον τὸν Χριστὸν καὶ τὸ ἀληθινὸν μυστήριον ὑφ᾽ ὁποτερῳοῦν τῶν εἰδῶν λαμβανόμενον. κεφ. γ΄.

Πρὸς δὲ τούτοις διασαφεῖ ὅτι κἂν ὁ λυτρωτὴς ἡμῶν Χριστὸς, ὡς καὶ περὶ τούτων εἴρηται, ἐν τῷ ἐσχάτῳ ἐκείνῳ δείπνῳ τὸ μυστήριον τοῦτο ἐν δυσὶν εἴδεσι διέταξε καὶ τοῖς ἀποστόλοις παρέδωκεν, ὅμως ὁμολογητέον ἐστὶ, καὶ ὑφ᾽ ἑνὶ μόνῳ τῶν εἰδῶν τέλειον καὶ ὁλόκληρον τὸν Χριστὸν καὶ τὸ ἀληθινὸν μυστήριον λαμβάνεσθαι. καὶ διὰ τοῦτο, ὅσον ἐς τὴν ὠφέλειαν καὶ τὸν καρπὸν, κατ᾽ οὐδὲν τῆς εἰς σωτηρίαν ἀναγκαίας χάριτος ὑστερεῖσθαι τοὺς ἑνὸς μόνου εἴδους μεταλαμβάνοντας.

Ὅτι τὰ μικρὰ παιδία οὐκ ἐνέχονται τῇ μυστηριακῇ κοινωνίᾳ. κεφ. δ΄.

Τέλος ἡ αὐτὴ ἁγία σύνοδος διδάσκει ὅτι τὰ μικρὰ παιδία τὰ μήπω τὴν τοῦ λογικοῦ χρῆσιν ἔχοντα οὐδεμιᾷ ἀνάγκῃ ἐνέχονται τὴν μυστηριακὴν τῆς εὐχαριστίας κοινωνίαν λαβεῖν. ἐπειδὴ τῷ λουτρῷ τοῦ βαπτίσματος ἀναγεννηθέντα καὶ τῷ Χριστῷ ἐνσωματωθέντα, τὴν ἤδη παρειλημμένην τῶν υἱῶν τοῦ θεοῦ χάριν οὔπω κατ᾽ ἐκείνην τὴν ἡλικίαν ἀπολέσαι δύνανται. οὐ μὴν διὰ τοῦτο καταγνωστέον τοὺς παλαιοὺς ὅτι κατά τινας χρόνους τὴν συνήθειαν ἐκείνην ἔν τισι τόποις ἐτήρησαν. ὡς γὰρ εὔλογον αἰτίαν τοῦ ἑαυτῶν ἔργου κατὰ λόγον τῶν τότε χρόνων οἱ ἁγιώτατοι ἐκεῖνοι πατέρες ἔσχον, οὕτω δήπου δι᾽ οὐδεμίαν σωτηρίας ἀνάγκην τοῦτο αὐτοὺς πεποιηκέναι ἀναμφισβητήτως ἐστὶ πιστευτέον.

Περὶ

Περὶ τῆς ὑφ' ἑκατέρῳ εἴδει κοινωνίας καὶ τῆς τῶν μικρῶν παιδίων. Κανὼν α'.

Ἐάν τις εἴπῃ ὅτι κατὰ θεῖον πρόσταγμα ἢ πρὸς σωτηρίας ἀνάγκην, πᾶς τις χριστιανὸς ὀφείλει ἑκατέρου εἴδους τοῦ ἁγιωτάτου μυστηρίου τῆς εὐχαριστίας μεταλαμβάνειν, ἀνάθεμα ἔστω. Κανὼν β'.

Ἐάν τις εἴπῃ τὴν ἁγίαν καθολικὴν ἐκκλησίαν μὴ ἐκ δικαίων αἰτίων καὶ λόγων προσῆχθαι πρὸς τὸ τοῖς λαϊκοῖς, ἔτι δὲ καὶ τοῖς μὴ λειτουργοῦσι κληρικοῖς, ὑπὸ μόνῳ τῷ τοῦ ἄρτου εἴδει τῆς ἁγίας κοινωνίας μεταδιδόναι, ἢ κατὰ τοῦτο αὐτὴν πλανηθῆναι, ἀνάθεμα ἔστω. Κανὼν γ'.

Ἐάν τις ἀρνήσηται μὴ ὁλόκληρον τὸν Χριστὸν τὸν πάντων τῶν χαρισμάτων πηγὴν ὄντα καὶ ἀρχηγὸν ὑφ' ἑνὶ τῷ τοῦ ἄρτου εἴδει λαμβάνεσθαι, διὰ τὸ μὴ καθώς τινες ψευδῶς ἀποφαίνονται ὑφ' ἑκατέρῳ τῶν εἰδῶν κατὰ τὴν αὐτοῦ τοῦ Χριστοῦ διαταγὴν λαμβάνεσθαι, ἀνάθεμα ἔστω. Κανὼν δ'.

Ἐάν τις εἴπῃ τὴν τῆς εὐχαριστίας κοινωνίαν τοῖς μικροῖς παιδίοις πρὶν εἰς τὰ τῆς διακρίσεως ἔτη αὐτὰ ἀφικέσθαι, ἀναγκαίαν εἶναι, ἀνάθεμα ἔστω.

Τὰ δὲ δύο ζητήματα ἄλλοτε μὲν προτεθέντα οὔπω δὲ ἐξητασμένα, εἰ οἱ λόγοι οἷς ἡ καθολικὴ ἐκκλησία προσήχθη εἰς τὸ τοῖς λαϊκοῖς καὶ τοὺς μὴ λειτουργοῦντας ἱερέας ὑφ' ἑνὶ μόνῳ εἴδει τῷ τοῦ ἄρτου κοινωνεῖν οὕτως εἰσὶ καθεκτέοι, ὥστε μηδενὶ τρόπῳ τὴν τοῦ ποτηρίου χρῆσιν εἶναι τινὶ συγχωρητέαν. καὶ εἰ εἰκόσι καὶ τῇ τῶν χριστιανῶν ἀγάπῃ ἀκολούθοις καὶ συνᾴδουσι λόγοις συγχωρητέον εἶναι δόξειεν ἔθνει τινὶ ἢ βασιλικῇ ἐπικρατείᾳ τὴν τοῦ ποτηρίου χρῆσιν, ἐπὶ ῥητοῖς τισι δέοι συγχωρεῖν, καὶ τίνα τὰ ἐφ' οἷς ἂν συγχωρηθείη, ταῦτα ἡ ἁγία σύνοδος εἰς ἄλλον χρόνον ὅτε πρῶτον εὐκαιρίας ἐπιλάβηται ἀνακριτέα καὶ διοριστέα ἀποτίθεται.

Καταγ-

Καταγγελία τῆς ἐπιούσης πράξεως κατ' ἐπιτομήν.

Μετὰ δὲ ταῦτα κατὰ τὴν αὐτὴν ταύτην πρᾶξιν κατηγγέλθη ἡ ἐπιοῦσα εἰς τὴν ιζ' τοῦ ἐπιόντος Σεπτεμβρίου μηνός. προσκεῖται δὲ τῷ δόγματι τόν τε ταύτης τῆς προθεσμίας χρόνον καὶ τὸν ἐπὶ ταῖς ἐφεξῆς πράξεσιν ὁρισθησόμενον ἐξεῖναι τῇ συνόδῳ καθὼς δόξει πρόσφορον εἶναι, παρεκτείνειν τε καὶ συστέλλειν.

ΠΡΑΞΙΣ ΚΒ' ΗΤΙΣ ΕΣΤΙΝ ΕΚΤΗ τῶν ἐπὶ Πίου δ' ἄκρου ἀρχιερέως, γενομένη τῇ ιζ' Σεπτεμβρίου μηνὸς ἔτει ,αφξβ'.

Διδασκαλία περὶ τῆς κατὰ τὴν θείαν λειτουργίαν θυσίας.

Ἡ ἱερὰ καὶ ἁγία οἰκουμενικὴ ἐν Τριδέντῳ σύνοδος ἐν πνεύματι ἁγίῳ νομίμως συνελθοῦσα, προεδρευόντων ἐν αὐτῇ τῶν αὐτῶν τῆς ἀποστολικῆς καθέδρας Ληγάτων, ὅπως ἡ παλαιὰ συμπεπληρωμένη καὶ κατὰ πάντα τετελειωμένη περὶ τοῦ μεγάλου μυστηρίου τῆς εὐχαριστίας ἐν τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ πίστις καὶ διδασκαλία παρακατέχηται κἂν τῇ ἑαυτῆς καθαρειότητι ἀπωκισθείσης τῆς πλάνης καὶ τῶν αἱρέσεων ἀναιρεθεισῶν διαφυλάττηται, περὶ αὐτῆς ἐφ' ὅσον ἀληθινὴ καὶ μία ἐστὶ θυσία, τῇ τοῦ ἁγίου πνεύματος φωταγωγίᾳ διδαχθεῖσα τὰ ἐφεξῆς διδάσκει καὶ ἐξηγεῖται, καὶ τοῖς πιστοῖς λαοῖς κηρύττεσθαι ὀφείλοντα ὁρίζει καὶ ἀποφαίνεται.

Κεφάλαιον α'.

Ἐπειδὴ καθὼς ὁ ἀπόστολος Παῦλος μαρτυρεῖ διὰ τὴν τῆς Λευϊτικῆς ἱερωσύνης ἀσθένειαν ἐπὶ τῇ πρώτῃ διαθήκῃ τελείωσις οὐκ ἦν, ἔδει (τοῦ τῶν οἰκτιρμῶν πατέρος θεοῦ οὕτω διατάττοντος) ἱερέα ἕτερον κατὰ τὴν τάξιν Μελχισέδεκ ἐγερθῆναι

θῆναι, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν δυνησόμενον πάντας ὅσοι ἁγιασθήσεσθαι ἔμελλον τελειοῦν καὶ πρὸς τὸ τέλειον ἀγαγεῖν. οὗτος οὖν ὁ θεὸς καὶ κύριος ἡμῶν, καίπερ ἅπαξ ἐπὶ θυσιαστηρίῳ σταυροῦ, θανάτου γενομένου, ἑαυτὸν τῷ θεῷ καὶ πατρὶ προσενεγκεῖν ἔμελλεν, ἵνα ἐκεῖ αἰωνίαν λύτρωσιν ἐργάζηται, ὅμως ἐπεὶ διὰ τοῦ θανάτου οὐκ ἔμελλεν αὐτοῦ ἡ ἱερωσύνη κατασβεσθῆναι, διὰ τοῦτο κατὰ τὸ τελευταῖον δεῖπνον ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ὅπως τῇ ἠγαπημένῃ αὐτοῦ νύμφῃ ἐκκλησίᾳ, ὁρατὴν (καθὼς ἡ τῶν ἀνθρώπων ἀπαιτεῖ φύσις) καταλείψῃ θυσίαν, δι' ἧς ἡ αἱματώδης ἐκείνη ἥτις ἅπαξ ἐπὶ τοῦ σταυροῦ τελειοῦσθαι ἔμελλε παρασταθείη, καὶ τὸ ἐκείνης μνημόσυνον μέχρι τῆς συντελείας τοῦ αἰῶνος διαμείνῃ, εἰς ἄφεσίν τε τῶν καθ' ἡμέραν ὑφ' ἡμῶν πλημμελουμένων ἁμαρτημάτων ἡ σωτηριώδης ἐκείνης δύναμις προσάπτοιτο, ἱερέα εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισέδεκ καθεστάναι ἑαυτὸν δεικνύων ὁ κύριος, τὸ ἑαυτοῦ σῶμα τε καὶ αἷμα ὑπὸ τοῖς τοῦ ἄρτου καὶ τοῦ οἴνου εἴδεσι τῷ θεῷ καὶ πατρὶ προσήνεγκε. καὶ ὑπὸ τοῖς τῶν αὐτῶν πραγμάτων συμβόλοις, τοῖς ἀποστόλοις οὓς ἱερέας τότε τῆς καινῆς διαθήκης καθίστανε μεταλαβεῖν παρέσχε. αὐτοῖς τε καὶ τοῖς ἐκείνων κατὰ τὴν ἱερωσύνην διαδόχοις προσφέρειν παρήγγειλε διὰ τούτων τῶν ῥημάτων. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν καθὼς ἀεί ποτε ἡ καθολικὴ ἐκκλησία ἐνόησέ τε καὶ ἐδίδαξε. ἑορτάσας γὰρ τὸ παλαιὸν πάσχα, ὅπερ εἰς μνημόσυνον τῆς ἐξ Αἰγύπτου ἐξόδου ἔθυε τὸ πλῆθος τῶν υἱῶν Ἰσραὴλ, καινὸν πάσχα ἑαυτὸν κατέστησεν ὑπὸ τῆς ἐκκλησίας διὰ τῶν ἱερέων ὑφ' ὁρατοῖς σημείοις τεθυσόμενον εἰς μνήμην τῆς ἐκ τοῦ κόσμου τούτου μεταβάσεως αὐτοῦ πρὸς τὸν πατέρα. ὅτε διὰ τῆς τοῦ ἰδίου αἵματος ἐκχύσεως ἡμᾶς ἐξηγόρασε, καὶ ἐρρύσατο ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν αὐτοῦ. καὶ αὕτη μὲν ἡ καθάρειος ἐστὶ προσφορὰ ἥ-

τις οὐδεμιᾷ ἀναξιότητι ἢ πονηρίᾳ τῶν προσφερόντων μολύνεσθαι δύναται. ἣν ὁ κύριος διὰ Μαλαχίου τοῦ προφήτου τῷ ἑαυτοῦ ὀνόματι ὃ μέγα ἔμελλεν ἔσεσθαι ἐν τοῖς ἔθνεσιν ἐν παντὶ τόπῳ καθαρὰν προσενεχθήσεσθαι προεῖπεν. ταύτην δὲ ὁ ἀπόστολος Παῦλος οὐκ ἀμυδρῶς αἰνίττεται, ὅταν τοῖς Κορινθίοις γράφων λέγῃ, μὴ δύνασθαι τοὺς τῇ μεθέξει τῆς τῶν δαιμονίων τραπέζης μεμολυσμένους, τῆς τοῦ κυρίου τραπέζης μετόχους γίνεσθαι. τῷ τῆς τραπέζης ὀνόματι ἑκατέρωθι τὸ θυσιαστήριον συνιών. καὶ τέλος αὕτη ἐστὶν ἡ διαφόροις θυσιῶν ὁμοιότησι καὶ εἰκόσιν ἔν τε τῷ τῆς φύσεως, κἂν τῷ τοῦ νόμου χρόνῳ ἐκτυπουμένη, ἅτε δὴ τὰ δι' ἐκείνων σημαινόμενα ἀγαθὰ πάντα οἷα δὴ συμπλήρωσις καὶ τελείωσις περιλαμβάνουσα. κεφ. β'.

Ἐπεὶ δὲ ἐν τῇ θείᾳ ταύτῃ θυσίᾳ τῇ κατὰ τὴν λειτουργίαν ἐπιτελουμένῃ, ὁ αὐτὸς ἐκεῖνος Χριστὸς συνέχεται καὶ ἀναιμάκτως θύεται, ὃς ἐν τῷ τοῦ σταυροῦ θυσιαστηρίῳ εἰσάπαξ ἑαυτὸν αἱματηρῶς προσήνεγκε, διδάσκει ἡ ἁγία σύνοδος ἀληθινῶς ἱλαστήριον εἶναι τὴν θυσίαν ταύτην, δι' αὐτῆς τε ἐὰν μετ' ἀληθινῆς καρδίας καὶ ὀρθῆς πίστεως, μετὰ φόβου καὶ εὐλαβείας συντετριμμένοι καὶ μετανοήσαντες τῷ θεῷ προσέλθωμεν, περιγίνεσθαι ἡμῖν ἐλέου τε τυγχάνειν, καὶ χάριν εὑρίσκειν εἰς εὔκαιρον βοήθειαν. ταύτης γὰρ δή που τῆς θυσίας τῇ προσφορᾷ ἱλασθεὶς ὁ κύριος, τὴν χάριν καὶ τὸ δῶρον τῆς μετανοίας διδούς, τά τε ἐγκλήματα καὶ τὰ ἁμαρτήματα κἂν μέγιστα ὦσιν, ἀφίησι. μία γὰρ καὶ ἡ αὐτή ἐστι θυσία. ὁ αὐτός ἐστιν ὁ νῦν τῇ τῶν ἱερέων ὑπηρεσίᾳ προσφέρων, ὃς ἑαυτὸν τότε ἐπὶ τοῦ σταυροῦ προσήνεγκε, τοῦ τρόπου τοῦ προσφέρειν μόνον διαφέροντος. ἧς δὴ προσφορᾶς τῆς αἱματηρᾶς δηλονότι, διὰ τῆς ἀναιμάκτου ταύτης ὁ καρπὸς δαψιλέστατα ἀπολαμβάνεται. τοσοῦτον ἀπέχει τοῦ ἐκείνην καθ' ὅντινα δὴ τρόπον διὰ ταύτης ὑποβιβάζεσθαι. διόπερ οὐ μό-

νοὺ ὑπὲρ τῶν ἁμαρτιῶν καὶ τῶν ἀντὶ τούτων ποινῶν καὶ ἱκανοποιήσεων καὶ ἑτέρων ἀναγκῶν τῶν ἔτι ζώντων πιστῶν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐν Χριστῷ μὲν κεκοιμημένων, οὔπω δὲ τελέως κεκαθαρμένων ὀρθῶς κατὰ τὴν τῶν ἀποστόλων παράδοσιν προσφέρεται. κεφ. γ′.

Κἂν δὲ εἰς τιμὴν καὶ μνήμην τινῶν ἁγίων εἴωθε λειτουργίας τινὰς ἐπιτελεῖν ἐνίοτε ἡ ἐκκλησία, οὐ διὰ τοῦτο ἐκείνοις τὴν θυσίαν προσφέρεσθαι διδάσκει, ἀλλὰ μόνῳ τῷ ἐκείνοις στεφανώσαντι θεῷ. διόπερ οὐ λέγει κατὰ τὰς τοιαύτας λειτουργίας ὁ ἱερεὺς, ὅτι προσφέρω σοι ὦ Πέτρε ἢ Παῦλε τὴν θυσίαν ταύτην, ἀλλὰ τῷ θεῷ ἐπὶ ταῖς ἐκείνων νίκαις εὐχαριστῶν τὰς συνηγορίας αὐτῶν προσαιτεῖ, ὅπως αὐτοὶ ὑπὲρ ἡμῶν πρεσβεύειν ἀξιώσωνται ἐν οὐρανοῖς, ὧν τὴν μνήμην ἐπιτελοῦμεν ἐπὶ τῆς γῆς. κεφ. δ′.

Ἐπεὶ δὲ τὰ ἅγια ἁγίως οἰκονομεῖσθαι προσήκει, ἁγιωτάτη δὲ πασῶν ἡ θυσία αὕτη ἐστὶ, διὰ τοῦτο ὅπως κατ᾽ ἀξίαν καὶ εὐλαβῶς προσφέροιτό τε καὶ μεταλαμβάνοιτο, πρὸ πολλῶν χρόνων τὸν ἱερὸν κανόνα ἡ καθολικὴ ἐκκλησία διέταξε τοσοῦτον σφάλματος καὶ πλάνης ἁπάσης καθαρεύοντα, ὥστ᾽ ἐν αὐτῷ μηδὲν συνέχεσθαι, ὃ μὴ ἁγιωσύνην καὶ εὐσέβειαν ἀπόζοι, καὶ τὰς τῶν προσφερόντων διανοίας πρὸς τὸν θεὸν ἀνάγοι. αὐτὸς γὰρ τὰ μὲν ἐξ αὐτῶν τῶν τοῦ κυρίου ῥημάτων, τὰ δὲ ἐκ τῶν τῶν ἁγίων ἀποστόλων παραδόσεων, ἔτι δὴ καὶ τῶν μακαρίων ἀρχιερέων εὐσεβῶν διαταγῶν συνίσταται. κεφ. ε′.

Τῶν δὲ ἀνθρώπων φύσει τοιούτων ὄντων, ὥστε μὴ δύνασθαι χωρὶς τῶν ἔξω συνεργημάτων εἰς τὴν τῶν θείων μελέτην καὶ θεωρίαν αἴρεσθαι, διὰ τοῦτο ἡ εὔσπλαγχνος μήτηρ ἐκκλησία θεσμούς τινας, ἵνα δηλονότι τὰ μὲν ὑφειμένῃ τῇ φωνῇ, τὰ δὲ ὑψηλοτέρᾳ ἐν τῇ λειτουργίᾳ προσφέρωνται διέταξε. θρησκείας τέ τινας καὶ τελετὰς, οἷον τὰς μυστικὰς εὐλο-

γίας, τὰ φῶτα, τὰ θυμιάματα, τὰς ἐσθῆτας, καὶ τοιαῦτα ἕτερα ἐκ τῆς τῶν ἀποστόλων διδασκαλίας καὶ παραδόσεως προσήγαγεν, ὅπως ἥτε μεγαλειότης τοῦ μυστηρίου τούτου συνιστάνηται, καὶ τῶν πιστῶν αἱ διάνοιαι διὰ τῶν ὁρατῶν τούτων τῆς εὐσεβείας σημείων πρὸς τὴν τῶν κατὰ τὴν θυσίαν ταύτην κεκρυμμένων ὑψηλοτάτων μυστηρίων θεωρίαν διεγείρωνται. κεφ. ς'.

Ηὔχετο μὲν ἡ ἱερὰ καὶ ἁγία σύνοδος ἵνα ἐν ταῖς λειτουργίαις οἱ παρεστηκότες πιστοὶ οὐ μόνον τῇ πνευματικῇ διαθέσει, ἀλλὰ καὶ τῇ μυστηριακῇ μεταλήψει τῆς εὐχαριστίας συγκοινωνοῖεν, ὥστε δαψιλέστερον τὸν τοῦ ἁγιωτάτου μυστηρίου τούτου καρπὸν αὐτοῖς ἀποβαίνειν. οὐ μὴν ἀλλ' εἰ καὶ μὴ ἑκάστοτε τοῦτο γίγνοιτο διὰ τοῦτο τὰς λειτουργίας ἐκείνας καθ' ἃς μόνος ὁ ἱερεὺς μυστηριακῶς μεταλαμβάνει ὡς ἰδιαζούσας καὶ ἀθεμίτους καταχρίνει, ἀλλὰ ἀποδέχεταί τε καὶ κομιδῇ ἐπαινεῖ. ἐπεὶ κἀκείνας ἀληθινῶς κοινὰς εἶναι νομιστέον. τὰ μὲν, ὅτι ἐν ἐκείναις πνευματικῶς κοινωνεῖ καὶ ὁ λαὸς, τὰ δὲ, ὅτι ὑπὸ δημοσίου τῆς ἐκκλησίας ὑπηρέτου οὐχ ὑπὲρ αὐτοῦ μόνον ἀλλ' ὑπὲρ τῶν πιστῶν πάντων τῶν εἰς τὸ σῶμα τοῦ Χριστοῦ συντελούντων, ἐπιτελοῦνται. κεφ. ζ'.

Υπομιμνήσκει δὲ μετὰ ταῦτα ἡ ἁγία σύνοδος παρηγγέλθαι τοῖς ἱερεῦσιν ὑπὸ τῆς ἐκκλησίας, ἵνα ἐν τῷ τὸ ποτήριον προσφέρειν, ὕδωρ τῷ οἴνῳ συμμίσγωσι. τὰ μὲν, ὅτι ὁ δεσπότης Χριστὸς οὕτω πεποιηκέναι πιστεύεται, τὰ δὲ, διὰ τὸ ἐκ τῆς πλευρᾶς αὐτοῦ ὕδωρ συνεξελθεῖν τῷ αἵματι. ὃ δὴ μυστήριον τῆς μίξεως ταύτης ἀναμιμνήσκεται. ἄλλως τε καὶ ἐπειδὴ ἐν τῇ τοῦ μακαρίου Ιωάννου ἀποκαλύψει ὕδατα οἱ λαοὶ λέγονται, ἡ αὐτοῦ τοῦ πιστοῦ λαοῦ ἕνωσις σὺν Χριστῷ τῇ κεφαλῇ παριστάνεται.

κεφ. η'.

Κἂν δὲ ἡ λειτουργία μεγάλην διδασκαλίαν τοῦ πιστοῦ

λαοῦ

λαοῦ συνέχουσα τυγχάνει, ὅμως οὐκ ἔδοξε τοῖς πατράσι συμφέρειν τῇ τοῦ πολλοῦ κοινῇ καὶ δημώδει διαλέκτῳ λέγεσθαι τὰ τῆς λειτουργίας. διόπερ κατεχομένου πανταχοῦ τοῦ καθ' ἑκάστην ἐκκλησίαν παλαιοῦ καὶ παρὰ τῇ κατὰ Ρώμην ἁγίᾳ ἐκκλησίᾳ ἥτις ἁπασῶν τῶν ἐκκλησιῶν μήτηρ ἐστὶ καὶ διδάσκαλος εὐδοκιμήσαντος ἐθίμου, ὅπως μὴ πεινῶσι τὰ πρόβατα τοῦ Χριστοῦ καὶ νήπια ἄρτον αἰτῶσι καὶ μὴ ᾖ ὃς κλάσῃ αὐτοῖς, παραγγέλλει ἡ ἁγία σύνοδος τοῖς τε ποιμέσι πᾶσι τῶν ἐκκλησιῶν καὶ ὅσοις ἄλλοις ἐπιμέλεια ψυχῶν ἐνεχειρίσθη, ἵνα συχνάκις ἐν τῷ τὴν λειτουργίαν ἐπιτελεῖσθαι δι' ἑαυτῶν ἢ δι' ἄλλων ἐξηγῶνταί τι τῶν κατὰ τὴν λειτουργίαν ἀναγινωσκομένων, ἅμα τοῖς ἄλλοις καὶ τῶν τῆς ἁγιωτάτης ταύτης θυσίας μυστηρίων τι ἑρμηνεύωσι. καὶ μάλιστα κατὰ τὰς κυριακὰς καὶ τὰς ἑορτασίμους ἡμέρας.

Κεφ. θ'.

Ἐπεὶ δὲ κατὰ τῆς παλαιᾶς ταύτης τῆς ἐπὶ τῷ ἱερῷ καὶ ἁγίῳ εὐαγγελίῳ καὶ ταῖς τῶν ἀποστόλων παραδόσεσι καὶ τῇ τῶν ἁγίων πατέρων διδασκαλίᾳ τεθεμελιωμένης πίστεως πολυπληθὴς ἐν τοῖς καθ' ἡμᾶς χρόνοις διέσπαρται πλάνη, πολλοὶ δὲ πολλὰ διδάσκουσί τε καὶ διαλέγονται, διὰ ταῦτα ἡ ἁγία σύνοδος μετὰ τὸ πολλὰς καὶ σπουδαίας περὶ τούτων βεβουλευμένως ποιήσασθαι διαλήψεις ὁμογνώμονι πάντων τῶν πατέρων συναινέσει τὰ τῇ καθαρωτάτῃ ταύτῃ πίστει καὶ ἁγίᾳ διδασκαλίᾳ ἀντιβαίνοντα κατακρίνειν καὶ τῆς ἁγίας ἐκκλησίας ἐξορίζειν, διὰ τῶν ὑπογεγραμμένων τύπων κανόνων διέγνωκεν.

Περὶ τῆς ἐν τῇ λειτουργίᾳ θυσίας.

Κανὼν α'.

Ἐάν τις εἴπῃ μὴ τὴν ἀληθινῶς καὶ κυρίως θυσίαν τῷ θεῷ προσφέρεσθαι ἐν τῇ λειτουργίᾳ, ἢ μηδὲν ἄλλο εἶναι τὸ προσφέρεσθαι, πλὴν τοῦ τὸν Χριστὸν ἡμῖν δίδοσθαι εἰς βρῶσιν, ἀνάθεμα ἔστω.

Κανὼν β΄.

Ἐάν τις εἴπῃ ὅτι διὰ τῶν ῥημάτων ἐκείνων (τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν) ὁ Χριστὸς οὐκ ἐτέλεσεν εἰς ἱερέας τοὺς ἀποστόλους, ἢ ὅτι οὐ διέταξεν ἵνα αὐτοί τε οἱ ἀπόστολοι καὶ οἱ ἄλλοι ἱερεῖς προσφέρωσι τό, τε σῶμα αὐτοῦ καὶ τὸ αἷμα, ἀνάθεμα ἔστω.

Κανὼν γ΄.

Ἐάν τις εἴπῃ τὴν τῆς λειτουργίας θυσίαν αἴνου μόνον καὶ εὐχαριστήσεως εἶναι, ἢ ψιλὴν ἀνάμνησιν τῆς ἐπὶ τοῦ σταυροῦ τελειωθείσης θυσίας, οὐχ ἱλαστήριον δέ γε, ἢ μόνῳ τῷ μεταλαμβάνοντι συμφέρειν, οὔτε δὲ ὑπὲρ τῶν ζώντων τε καὶ τῶν τελευτησάντων, ὑπὲρ τε ἁμαρτιῶν καὶ ἐπιτιμίων καὶ ἱκανοποιήσεων καὶ ἑτέρων ἀναγκῶν δεῖν προσφέρεσθαι, ἀνάθεμα ἔστω.

Κανὼν δ΄.

Ἐάν τις εἴπῃ ὅτι διὰ τῆς κατὰ τὴν λειτουργίαν θυσίας βλασφημία ἐπιφέρεται τῇ ἐπὶ τοῦ σταυροῦ τελειωθείσῃ ἁγιωτάτῃ τοῦ Χριστοῦ θυσίᾳ, ἢ ὅτι ἐκείνη διὰ ταύτης ὑποβιβάζεται, ἀνάθεμα ἔστω.

Κανὼν ε΄.

Ἐάν τις εἴπῃ ἐξαπάτην εἶναι τὸ λειτουργίας εἰς τιμὴν τῶν ἁγίων ἐπιτελεῖν ὑπὲρ τοῦ τῆς ἐκείνων πρὸς τὸν θεὸν πρεσβείας τυγχάνειν, καθὼς τῇ ἐκκλησίᾳ πρόκειται, ἀνάθεμα ἔστω.

Κανὼν ϛ΄.

Ἐάν τις εἴπῃ τὸν κατὰ τὴν λειτουργίαν κανόνα σφάλματα περιέχειν, καὶ διὰ τοῦτο ἀκυρωτέον εἶναι, ἀνάθεμα ἔστω.

Κανὼν ζ΄.

Ἐάν τις εἴπῃ τὰς θρησκείας καὶ τὰς ἐσθῆτας καὶ τὰ ἔξω σημεῖα οἷς περ ἐν ταῖς λειτουργίαις ἡ καθολικὴ ἐκκλησία χρῆται, ἀσεβείας ἐρεθίσματα μᾶλλον ἢ εὐσεβείας ἔργα εἶναι, ἀνάθεμα ἔστω.

Κανὼν η΄.

Ἐάν τις εἴπῃ τὰς λειτουργίας καθ᾽ ἃς μόνος ὁ ἱερεὺς μυστηριακῶς κοινωνεῖ, ἀθεμίτους εἶναι καὶ διὰ τοῦτο ἀκυρωτέας, ἀνάθεμα ἔστω.

Κανὼν

Κανὼν θʹ.

Ἐάν τις εἴπῃ τὸ τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἔθιμον καθ' ὃ ὑφειμένῃ τῇ φωνῇ μέρος τοῦ κανόνος καὶ τὰ τῆς καθιερώσεως ῥήματα προφέρονται κατακριτέον εἶναι, ἢ ὅτι κατὰ τὴν ἰδιωτικὴν καὶ δημώδη διάλεκτον δεῖ ἐκφωνεῖσθαι τὰς λειτουργίας, ἢ ὅτι ἐν τῇ τοῦ ποτηρίου προσφορᾷ τῷ οἴνῳ ὕδωρ οὐκ ἐγκαταμικτέον, τῷ ἀλλότριον εἶναι τοῦτο τῆς τοῦ Χριστοῦ διαταγῆς, ἀνάθεμα ἔστω.

Δόγμα, περὶ ὧν δεῖ τηρεῖν καὶ ἐκκλίνειν κατὰ τὴν τῆς λειτουργίας τελετήν.

Ὅσην μὲν φροντίδα παρέχεσθαι δεῖ, ὅπως ἡ τῆς λειτουργίας ἁγία καὶ ἱερὰ θυσία πάσῃ εὐσεβείας λατρείᾳ καὶ εὐλαβείᾳ ἐπιτελῆται, πᾶς τις ῥᾳδίως ἂν λογίσαιτο ὃς ἂν λογίσηται, ὅτι ἐπικατάρατος ἐν τοῖς ἱεροῖς γράμμασι καλεῖται ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς. εἰ δέ γε ἀναγκαίῳ λόγῳ ὁμολογητέον ἐστὶν, ὡς οὐδὲν ἄλλο ἔργον οὕτως ἅγιον καὶ θεῖον ὑπὸ τῶν χριστωνύμων πιστῶν ἐνδέχεται πραχθῆναι, ὡς αὐτὸ τοῦτο τὸ φρικῶδες μυστήριον, καθ' ὃ ἡ ζωοποιὸς ἐκείνη θυσία, ἣ τῷ πατρὶ θεῷ διηλλάγημεν, ἐπὶ τῆς ἱερᾶς τραπέζης καθ' ἑκάστην ἡμέραν ὑπὸ τῶν ἱερέων θύεται, ἱκανῶς δήπου φανερὸν γίνεται ὅτι πᾶσαν ἐπιμέλειαν καὶ σπουδὴν κατ' αὐτὸ παρέχεσθαι δεῖ, ὅπως ὡς οἷόν τε μάλιστα καρδίας τε τῇ ἔσω καθαρότητι, καὶ τῇ ἔξω εὐλαβείας καὶ εὐσεβείας ἐνδείξει ἐπιτελῆται. ἐπεὶ οὖν εἴτ' ἐκ τῆς τῶν χρόνων πονηρίας, εἴτ' ἐκ τῆς τῶν ἀνθρώπων ἀμελείας καὶ μοχθηρίας πολλά τινα ἤδη τῆς κατὰ τὴν μεγίστην ταύτην θυσίαν ἀξίας ἀλλότρια καὶ ξένα παρεισελθεῖν διαφαίνονται, διὰ τοῦτο ὅπως αὐτῇ ἡ ὀφειλομένη τιμὴ καὶ λατρεία εἰς δόξαν θεοῦ καὶ οἰκοδομὴν τοῦ πιστοῦ λαοῦ ἀποκατασταθῇ, ὁρίζει ἡ ἁγία σύνοδος ἵνα οἱ ὀρδινάριοι τῶν τόπων ἐπίσκοποι ἐκεῖνα πάντα κωλύειν καὶ ἐκποδὼν ποιεῖσθαι ἐνέχωνται σπουδαίως ἐπιμεληθῆναι, ὅ-

τῷ ὄντι οἶκος προσευχῆς εἶναι τε δοκῇ καὶ ἔχῃ λέγεσθαι. ἐπὶ πᾶσιν ὅπως μὴ χώρα μηδεμία τῇ δεισιδαιμονιώδει περιεργία καταλίπηται, προστάγμασι καὶ ἐπιτιμίων ἐπιθέσει ἀπαγορευέτωσαν τοῖς ἱερεῦσι μὴ κατ' ἄλλας ἢ τὰς τεταγμένας καὶ προσηκούσας ὥρας λειτουργεῖν, μήτε μὴν τελετὰς ἑτέρας ἢ θρησκείας μήτε εὐχὰς κατὰ τὴν τῶν λειτουργιῶν μυσταγωγίαν παρὰ τὰς ὑπὸ τῆς ἐκκλησίας δεδοκιμασμένας τε καὶ διηνεκεῖ καὶ ἐπαινετῇ χρήσει παραδεχθείσας ἐπάγεσθαι. τὴν δέ γε κατά τινα ὡρισμένον ἀριθμὸν λειτουργιῶν τινων καὶ κανδήλων χρῆσιν τὴν ἐκ περιέργου σεβάσματος μᾶλλον ἢ ἀληθινῆς εὐσεβείας εὑρημένην, παντελῶς τῆς ἐκκλησίας ἐκκοπτέτωσαν. διδασκέτωσάν τε τὸν λαὸν τίς τε ἐστὶ καὶ πόθεν μάλιστα ὁ τῆς ἁγιωτάτης θυσίας ταύτης οὕτω τίμιος καὶ οὐράνιος καρπὸς παραγίνεται. ἔτι δὲ νουθετείτωσαν τὸν λαὸν, ἵνα συχνάκις ἢ κἂν γοῦν ταῖς κυριακαῖς καὶ ταῖς ἑορτασίμοις ἄλλαις ἡμέραις εἰς τὰς αὐτῶν παροικίας προσέρχωνται. ταῦτα μὲν οὖν πάντα ἃ κεφαλαιωδῶς κατηρίθμηνται οὕτω δήπου πᾶσι τοῖς κατὰ τόπους ὀρδιναρίοις ἐπισκόποις προστίθενται, ὥστε μὴ μόνον αὐτὰ ταῦτα ἀλλ' ὁποιαδήποτε ἄλλα ἐνταῦθα δόξωσι συντείνειν, αὐτοὶ κατὰ τὴν ὑπὸ τῆς ἁγίας συνόδου δοθεῖσαν αὐτοῖς ἐξουσίαν, ἔτι δὲ μὴν ὡς τῆς ἀποστολικῆς καθέδρας ἐπίτροποι δύνασθαι κωλύειν ἢ ἐπιτάσσειν ἢ διορθοῦν ἢ καθιστάναι, καὶ πρὸς τὸ ταῦτα ἀπαραβάτως τηρεῖν τοῖς ἐκκλησιαστικοῖς ἐπιτιμίοις καὶ ἑτέροις κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπιτεθησομένοις τὸν πιστὸν λαὸν καταναγκάζειν. μηδένων μήτε προνομιῶν μήτε ὑπεξαιρέσεων μήτε ἐκκλήσεων ἢ συνηθειῶν ὁποιωνδήποτε ταῦτα ἐμποδιζόντων.

Δόγμα περὶ τοῦ εἰ δεῖ συγχωρεῖν τὴν τοῦ ποτηρίου κοινωνίαν τοῖς τοῦτο αἰτουμένοις.

Πρὸς τούτοις, ἐπεὶ δὴ κατὰ τὴν πρὸ ταύτης πρᾶξιν ἡ ἱερὰ καὶ ἁγία σύνοδος αὕτη τὰ ἄλλοτε μὲν προτεθέντα μήπω δὲ καὶ τότε ἐξετασθέντα δύο ἄρθρα, ἐκεῖνα δηλονότι, εἰ οἱ λογισμοὶ οἷς ἡ ἁγία καθολικὴ ἐκκλησία προήχθη εἰς τὸ τοὺς λαϊκοὺς καὶ τοὺς μὴ λειτουργοῦντας ἱερεῖς ὑφ' ἑνὶ μόνον εἴδει τῷ τοῦ ἄρτου κοινωνεῖν οὕτως εἰσὶ καθεκτέοι, ὥστε μηδενὶ τρόπῳ τὴν τοῦ ποτηρίου μετάληψιν ἔτι τινὶ συγχωρητέαν. καὶ πότερον ἐὰν εἰκόσι καὶ τῇ χριστιανικῇ ἀγάπῃ συνᾴδουσι λόγοις συγχωρητέον ἔτι δόξειεν ἔθνει τινὶ, ἢ βασιλικῇ ἐπικρατείᾳ τὴν τοῦ ποτηρίου χρῆσιν, ἐπὶ ῥητοῖς τισι ἤτουν συντεθειμένοις τισὶ τρόποις δέοι συγχωρεῖν, καὶ τίνα τὰ ἐφ' οἷς ἂν συγχωρηθείη, εἰσαῦθις ὅτε πρῶτον εὐκαιρείας ἐπιλάβοιτο, ἀνακειτέα καὶ διοριστέα ἀποτέθεικεν, νῦν τῇ τῶν αἰτούντων σωτηρίᾳ ὡς ἄριστα προνοηθῆναι βουλομένη, ἔγνω τὴν πραγματείαν ταύτην ἀκέραιον τῷ ἁγιωτάτῳ Πάπα Ῥώμης ἀνενεχθῆναι δεῖν, καθὰ δὴ καὶ διὰ τοῦ παρόντος δόγματος ἀναφέρει, ὃς κατὰ τὴν ἐξαίρετον αὐτοῦ φρόνησιν, ὅπερ ἂν τῇ τε χριστωνύμῳ πολιτείᾳ, καὶ τῇ τῶν αἰτούντων τὴν τοῦ ποτηρίου χρῆσιν σωτηρίᾳ συνοίσειν δόξῃ, τοῦτο ἐπιτελέσει.

Περὶ τῆς ἑξῆς πράξεως παραφρασικῶς.

Μετὰ ταῦτα καταγγελθέντος τοῦ τὴν κγ' πρᾶξιν ἔσεσθαι τῇ ιβ' Νοεμβρίου μηνὸς τοῦ τότε ἔτους ,αφξβ', ὅμως ἀνεβλήθη ἕως τῆς ιε' Ἰουλίου τοῦ ἐπακολουθήσαντος ἔτους ,αφξγ'.

ΠΡΑ-

ΠΡΑΞΙΣ ΚΓ' ΗΤΙΣ ΕΣΤΙΝ ΕΒΔΟΜΗ

τῶν ἐπὶ Πίου δ' ἄκρου ἀρχιερέως, γινομένη τῇ ιε' Ιουλίου μηνὸς ,αφξβ.

Αληθινὴ καὶ καθολικὴ διδασκαλία περὶ τοῦ μυστηρίου τοῦ ἱεροῦ τάγματος, πρὸς κατάκρισιν τῆς τῶν καθ' ἡμᾶς χρόνων πλάνης ὑπὸ τῆς ἁγίας συνόδου διορισθεῖσα καὶ δημοσιευθεῖσα ἐν τῇ ἑβδόμῃ πράξει. κεφ. α'.

Επεὶ δὴ ἥτε θυσία καὶ ἡ ἱερωσύνη οὕτω εἰσὶ τῇ τοῦ θεοῦ διατάξει συνημμένα, ὥστε ἑκάτερον ἐν παντὶ νόμῳ ὑπάρξαι. ἐν δὲ τῇ καινῇ διαθήκῃ ἐκ τῆς τοῦ κυρίου διατάξεως τὴν ὁρατὴν τῆς ἁγίας εὐχαριστίας θυσίαν ἡ καθολικὴ ἐκκλησία παρέλαβε, δεήσει δήπου καὶ ἱερωσύνην ἐν αὐτῇ καινήν, ὁρατήν τε καὶ ἐξωτέραν εἰς ἣν ἡ παλαιὰ μετέστη, ὁμολογεῖν ὑπάρχειν. ταύτην δὲ ὑπὸ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν καταστῆναι, τοῖς ἀποστόλοις τε καὶ τοῖς ἐν τῇ ἱερατείᾳ διαδόχοις αὐτῶν ἐξουσίαν δοθῆναι τοῦ τε καθιερῶν καὶ προσφέρειν καὶ διακονεῖν τό, τε σῶμα αὐτοῦ καὶ τὸ αἷμα, ἔτι δὲ ἀφιέναι ἁμαρτίας καὶ κρατεῖν, αἵτε ἱεραὶ γραφαὶ δεικνύουσι, καὶ ἡ τῆς καθολικῆς ἐκκλησίας παράδοσις ἀείποτε ἐδίδαξε. κεφ. β'.

Θείου δὲ χρήματος οὔσης τῆς τοῦ οὕτως ἁγίας ἱερωσύνης ὑπηρεσίας, ἀκόλουθον ὑπῆρχεν, ὡς ἂν ἀξιωματικώτερον καὶ σεβασμιώτερον ἐπιτηδεύοιτο, πολλά τινα καὶ διάφορα ἐν τῇ τῆς ἐκκλησίας ἀρίστᾳ ἐχούσῃ διαταγῇ ὑπηρετῶν τάγματα τῶν τῇ ἱερωσύνῃ κατὰ τὸ αὐτοῖς καθῆκον ἔργον διακονησόντων ὑπάρχειν, ἅ τινα οὕτως εἶεν διανενεμημένα ὥστε οἱ ἂν τῇ κληρικῇ κουρᾷ ἐσφραγισμένοι εἶεν, διὰ τῶν ἡττόνων εἰς τὰ μείζονα προσβιβάζοιντο. οὐ γὰρ ἱερέων μόνον ἀλλὰ καὶ δια-

θήκης ἱερέας εἶναι ἢ πάντας ἐξ ἴσου τῆς πνευματικῆς ἐξουσίας μετέχειν διϊσχυρίζεταί τις, οὗτος οὐδὲν ἄλλ' ἢ τὴν ἐκκλησιαστικὴν ἱεραρχίαν τὴν κατὰ παρεμβολῆς φάλαγγα τεταγμένην συγχέων διαφαίνεται. ὡς εἰ καὶ παρὰ τὴν τοῦ μακαρίου Παύλου διδασκαλίαν πάντες εἶεν ἀπόστολοι, πάντες προφῆται, πάντες εὐαγγελισταί, πάντες ποιμένες, πάντες διδάσκαλοι. διόπερ ἐξηγεῖται ἡ ἁγία σύνοδος ὅτι παρὰ τοὺς λοιποὺς ἐκκλησιαστικοὺς βαθμούς, προηγουμένως οἱ ἐπίσκοποι, οἵτινες τὴν τῶν ἀποστόλων χώραν διεδέξαντο, εἰς τὴν ἱεραρχικὴν τάξιν ταύτην ἀνήκουσιν. οὓς τὸ πνεῦμα τὸ ἅγιον (καθὼς ὁ αὐτός φησιν ἀπόστολος) ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ θεοῦ. ὅτι τε τῶν πρεσβυτέρων ἀνώτεροι εἰσὶ καὶ τό, τε μυστήριον τῆς βεβαιώσεως χορηγοῦσι, καὶ τοὺς τῆς ἐκκλησίας ὑπηρέτας χειροτονοῦσιν. ἄλλα τε πλεῖστα ἐπιτελεῖν αὐτοῖς ἔξεστιν. ὧν δὴ λειτουργημάτων οἱ ἐν τοῖς ὑποδεεστέροις τάγμασι καθεστῶτες οὐδεμίαν ἔχουσιν ἐξουσίαν. προσέτι διδάσκει ἡ ἁγία σύνοδος ὡς ἐν τῇ τῶν ἐπισκόπων καὶ τῇ τῶν ἱερέων καὶ τῶν λοιπῶν τῆς ἐκκλησίας ταγμάτων χειροτονίᾳ οὔτε τὴν τοῦ λαοῦ οὔτε τὴν ὁποιασοῦν κοσμικῆς ἐξουσίας ἢ ἄρχοντος συγκατάθεσιν ἢ κλῆσιν ἢ αὐθεντίαν ἐπὶ τοσοῦτον ἀπαιτεῖσθαι, ὥστε ἐὰν μὴ προσῇ, ἄκυρον εἶναι τὴν χειροτονίαν. μᾶλλον μὲν οὖν ὅσοι ὑπὸ τοῦ λαοῦ μόνον ἢ κοσμικῆς ἐξουσίας ἢ ἄρχοντος κληθέντες καὶ προσχειρισθέντες εἰς τὸ τὰς διακονίας ταύτας ἐπιτηδεύειν ἀναβαίνουσιν, ἔτι δὲ ὅσοι τῇ ἑαυτῶν θρασύτητι καὶ αὐθαδείᾳ ἑαυτοῖς ταῦτα λαμβάνουσι, τούτους πάντας οὐχ ὑπηρέτας τῆς ἐκκλησίας ἀλλὰ κλέπτας καὶ λῃστὰς ὡς διὰ τῆς θύρας μὴ εἰσελθόντας ὁρίζει νομίζεσθαι δεῖν. ἃ μὲν οὖν γενικῶς περὶ τοῦ μυστηρίου τῆς χειροτονίας τοῖς χριστωνύμοις πιστοὺς διδάσκειν οἴεται δεῖν ἡ ἱερὰ σύνοδος, ταῦτ' ἐστί. τὰ δὲ τούτοις ἐναντία, ὡρισμένοις τισὶ καὶ ἰδίοις κανόσι

τὸν

λὰ καὶ καταφρονητέαν καὶ ὀλεθρίαν εἶναι, ὁμοίως δὲ καὶ τὰς ἄλλας τοῦ ἱεροῦ τάγματος θρησκείας, ἀνάθεμα ἔστω.

Κανὼν ϛʹ.

Εάν τις εἴπη ἐν τῇ καθολικῇ ἐκκλησίᾳ μὴ εἶναι ἱεραρχίαν θείᾳ διατάξει καθεσταμένην, ἥτις ἐξ ἐπισκόπων καὶ πρεσβυτέρων καὶ λειτουργῶν συνέστηκεν, ἀνάθεμα ἔστω.

Κανὼν ζʹ.

Εάν τις εἴπη τοὺς ἐπισκόπους μὴ εἶναι τῶν πρεσβυτέρων ἀνωτέρους, ἢ μὴ ἔχειν ἐξουσίαν τοῦ τελεσιουργεῖν τὴν βεβαίωσιν ἔτι δὲ τοῦ χειροτονεῖν, ἢ ὅτι ἡ ὑπάρχουσα αὐτοῖς ἐξουσία κοινή ἐστι καὶ τοῖς πρεσβυτέροις, ἢ ὅτι αἱ γινόμεναι ὑπ' αὐτῶν χειροτονίαι, ἐὰν μὴ προσῇ τοῦ λαοῦ ἢ τινὸς κοσμικῆς ἐξουσίας συγκατάθεσις ἢ κλῆσις, ἄκυροι εἰσὶν, ἢ ὅτι οἱ μήτε ὑπὸ ἐκκλησιαστικῆς καὶ κανονικῆς ἐξουσίας νομίμως κεχειροτονημένοι καὶ ἀπεσταλμένοι, ἀλλ' ἄλλοθεν ἥκοντες, γνήσιοι εἰσὶ τοῦ τε θείου λόγου καὶ τῶν μυστηρίων ὑπηρέται, ἀνάθεμα ἔστω.

Κανὼν ηʹ.

Εάν τις εἴπη τοὺς τῇ αὐθεντίᾳ τοῦ τῆς Ρωμαϊκῆς ἐκκλησίας ἄκρου ἀρχιερέως λαμβανομένους ἐπισκόπους, μὴ εἶναι νομίμους καὶ ἀληθινοὺς ἐπισκόπους, ἀλλ' ἀνθρώπινον πλάσμα, ἀνάθεμα ἔστω.

Περὶ τῆς ἐπιούσης πράξεως ἐν συνόψει.

Η κδʹ πρᾶξις κατηγγέλθη μὲν εἰς τὴν ιϛʹ Σεπτεμβρίου μηνὸς τοῦ ͵αφξγʹ ἔτους, ἀνεβλήθη δὲ εἰς τὴν ιαʹ Νοεμβρίου τοῦ αὐτοῦ ἔτους.

ΠΡΑ-

σίαν. τὴν τοίνυν συνοικεσίαν ἐν τῷ εὐαγγελικῷ νόμῳ τοῖς πάλαι γινομένοις γάμοις χάριν διὰ Χριστὸν παρέχοντος, εἰκότως ἐν τοῖς τοῦ καινοῦ νόμου μυστηρίοις συναριθμητέον αὐτὸ εἶναι οἵ τε ἅγιοι πατέρες ἡμῶν καὶ αἱ σύνοδοι καὶ ἡ τῆς καθολικῆς ἐκκλησίας παράδοσις ἀεί ποτε ἐδίδαξαν. καθ᾿ ἧς μαινόμενοι οἱ τοῦ καθ᾿ ἡμᾶς χρόνου ἀνόσιοι ἄνθρωποι, οὐ μόνον κακῶς περὶ τοῦ τιμίου τούτου μυστηρίου ἐφρόνησαν, ἀλλ᾿ ὡς ἔθος αὐτοῖς, προσχήματι τοῦ εὐαγγελίου, τὴν τῆς σαρκὸς ἐλευθερίαν εἰσάγοντες, πολλὰ τῆς καθολικῆς ἐκκλησίας νοῦ καὶ γνώμης καὶ τῆς ἀπὸ τῶν ἀποστολικῶν χρόνων δεδοκιμασμένης συνηθείας ἀλλότρια καὶ ξένα γραφῇ τε καὶ λόγῳ διϊχύρισαν, οὐ μικρὰ τοὺς χριστωνύμους πιστοὺς ζημιώσαντες. ὧν τῇ αὐθαδείᾳ ἡ ἁγία οἰκουμενικὴ σύνοδος ἀντιβαίνειν ἐπιθυμοῦσα, τὰς ἐπισημοτέρας τῶν προειρημένων σχισματικῶν αἱρέσεις τε καὶ πλάνας, ὡς μὴ πλείονας ἔτι ἡ ὀλεθρία νόσος αὐτῶν ἐπισπάσηται, ἐξορίσαι ᾠήθη δεῖν, τοὺς ὑπογεγραμμένους ἀναθεματισμοὺς κατ᾿ αὐτῶν τῶν αἱρετικῶν καὶ τῆς πλάνης αὐτῶν δογματίσασα.

Περὶ τοῦ μυστηρίου τοῦ συνοικεσίου.

Κανὼν α΄.

Ἐάν τις εἴπῃ τὸ κατὰ τὸν γάμον συνοικέσιον μὴ εἶναι ἀληθῶς καὶ κυρίως ἓν τῶν ἑπτὰ τοῦ εὐαγγελικοῦ νόμου μυστηρίων ὑπὸ τοῦ δεσπότου Χριστοῦ διαταχθέν, ἀλλ᾿ ὑπ᾿ ἀνθρώπων εἰς τὴν ἐκκλησίαν ἐπεισαχθῆναι, καὶ χάριν μὴ χορηγεῖν, ἀνάθεμα ἔστω.

Κανὼν β΄.

Ἐάν τις εἴπῃ ἐξεῖναι τοῖς χριστιανοῖς πλείους κατὰ τὸν αὐτὸν χρόνον ἔχειν γυναῖκας, καὶ τοῦτο μηδενὶ θείῳ νόμῳ ἀπηγορεῦσθαι, ἀνάθεμα ἔστω.

Κανὼν γ΄.

Ἐάν τις εἴπῃ μόνους τοὺς ἐν τῷ Λευϊτικῷ καταλεγομένους συγγενείας καὶ κηδείας βαθμοὺς κωλύειν δύνασθαι τὸ μέλλον γίνεσθαι συνοικέσιον καὶ χωρίζειν τὸ ἤδη γεγενημένον,

καὶ μὴ δύνασθαι τὴν ἐκκλησίαν οἰκονομικῶς ἔν τισιν αὐτῶν συγκαταβαίνειν ἢ καθιστάναι πλείους εἶναι τοὺς κωλύοντας καὶ χωρίζοντας, ἀνάθεμα ἔστω.

Κανὼν δ'.

Ἐάν τις εἴπῃ τὴν ἐκκλησίαν μὴ δυνηθῆναι καθιστάναι τὰ τὸ συνοικέσιον χωρίζοντα ἐμπόδια, ἢ ἐσφάλθαι ἐν τῷ ταῦτα καθιστάναι, ἀνάθεμα ἔστω.

Κανὼν ε'.

Ἐάν τις εἴπῃ δι' αἵρεσιν ἢ ὀχληρὰν συνοίκησιν, ἢ ἐπιτετηδευμένην ἀπουσίαν ἑνὸς τῶν συζύγων, διαλυθῆναι δύνασθαι τὸν τοῦ συνοικεσίου δεσμὸν, ἀνάθεμα ἔστω.

Κανὼν ς'.

Ἐάν τις εἴπῃ τὸ κεκυρωμένον μὲν, μήπω δὲ διὰ τῆς γαμικῆς συναφείας συντετελεσμένον συνοικέσιον, διὰ τὴν ἐνθέσμως πεποιημένην τῆς καλουμένης ῥελιγιόνος ἐπαγγελίαν ἑνὸς τῶν συζύγων, μὴ χωρίζεσθαι, ἀνάθεμα ἔστω.

Κανὼν ζ'.

Ἐάν τις εἴπῃ πλανᾶσθαι τὴν ἐκκλησίαν ἐν τῷ δεδιδαχέναι τε καὶ διδάσκειν κατὰ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν διδασκαλίαν, ὅτι διὰ μοιχείαν θατέρου τῶν συζύγων οὐκ ἐνδέχεται λυθῆναι τὸν τοῦ συνοικεσίου δεσμὸν, καὶ ὅτι ἑκάτερος ἢ ἔτι μὴν ὁ ἀθῷος ὃς αὖ τῆς μοιχείας μὴ γέγονεν αἴτιος, οὐ δύναται ζῶντος θατέρου τῶν συζύγων ἄλλον γάμον συναλλάττειν, μοιχᾶσθαί τε τὸν τὴν μοιχαλίδα ἀπολύσαντα καὶ ἑτέραν ἀγαγόντα, καὶ τὴν τὸν μοιχὸν ἀφεῖσαν καὶ ἑτέρῳ γαμηθεῖσαν, ἀνάθεμα ἔστω.

Κανὼν η'.

Ἐάν τις εἴπῃ πλανᾶσθαι τὴν ἐκκλησίαν ἐν ᾧ διὰ πολλὰς αἰτίας τὸν μεταξὺ τῶν συζύγων χωρισμὸν τῆς κοίτης ἢ τῆς συσκηνίας, εἰς ὡρισμένον ἢ ἀόριστόν τινα χρόνον ἐνδέχεσθαι γίνεσθαι δογματίζει, ἀνάθεμα ἔστω.

Κανὼν

Κανὼν θʹ.

Ἐάν τις εἴπῃ τοὺς ἐν τοῖς ἱεροῖς τάγμασι καθεστῶτας κληρικοὺς ἢ τοὺς ὑπὸ κανόνα τεταγμένους καὶ ἁγνείαν ἐνθέσμως ἐπηγγελμένους δύνασθαι γάμον συναλλάττειν, καὶ ἐὰν συναλλάξωσι, κύριον εἶναι τὸν γάμον, μήτε τοῦ ἐκκλησιαστικοῦ νόμου ἐμποδίζοντος μήτε τῆς εὐχῆς, τὰ δὲ τούτοις ἐναντία οὐδὲν ἀλλ' ἢ κατάκρισιν εἶναι τοῦ συνοικεσίου, ἐξεῖναί τε πᾶσι γάμον συναλλάττειν ὅσοι ἑαυτοὺς αἰσθάνονται τὸ τῆς ἁγνείας χάρισμα μὴ ἔχοντας τυγχάνειν κἂν εὐχὴν ἔχωσιν, ἀνάθεμα ἔστω. ἐπειδὴ τοῖς ὀρθῶς αἰτουμένοις οὐκ ἀπαρνεῖται τοῦτο ὁ θεὸς, οὐδὲ ἀνέχεται ἡμᾶς ὑπὲρ δύναμιν πειράζεσθαι.

Κανὼν ιʹ.

Ἐάν τις εἴπῃ τὴν γαμικὴν κατάστασιν προτιμοτέραν εἶναι τῆς ἐν παρθενίᾳ ἢ ἀγαμίᾳ καταστάσεως, καὶ μὴ βέλτιον καὶ μακαριώτερον εἶναι ἐν παρθενίᾳ ἢ ἀγαμίᾳ διαμένειν ἢ κατὰ γάμον ζεύγνυσθαι, ἀνάθεμα ἔστω.

Κανὼν ιαʹ.

Ἐάν τις εἴπῃ τὸ κώλυμα τῆς τοῦ συνοικεσίου καλουμένης σολλεμνιτάδος ἐν ὡρισμένοις τισὶ καιροῖς τοῦ ἔτους τυραννικὴν εἶναι δεισιδαιμονίαν ἐκ τῆς τῶν ἐθνικῶν δεισιδαιμονίας παρηγμένην, ἢ τὴν εὐλογίαν καὶ τὰς ἄλλας θρησκείας αἷς περὶ ταῦτα χρῆται ἡ ἐκκλησία ἀποδοκιμάσειεν, ἀνάθεμα ἔστω.

Κανὼν ιβʹ.

Ἐάν τις εἴπῃ τὰς γαμικὰς ὑποθέσεις μὴ προσήκειν τοῖς ἐκκλησιαστικοῖς δικασταῖς, ἀνάθεμα ἔστω.

Περὶ τῆς ἐπιούσης πράξεως ἐν συνόδῳ.

Η ΚΕ' ΠΡΑΞΙΣ ΕΝΝΑΤΗ ΚΑΙ ΤΕΛΕΥταία οὖσα τῶν ἐπὶ Πίου δ' ἄκρου ἀρχιερέως, κατηγγέλθη μὲν γενήσεσθαι τῇ ἐννάτῃ τοῦ Δεκεμβρίου, προέφθασε δὲ γενέσθαι κατὰ τρίτην τε καὶ τετάρτην τοῦ αὐτοῦ μηνὸς, ἔτει αφξγ'.

Δόγμα περὶ τοῦ Πουργατωρείου.

Ἐπεὶ δὴ ἡ καθολικὴ ἐκκλησία ὑπὸ τοῦ ἁγίου πνεύματος διὰ τῶν ἱερῶν λογίων καὶ τῆς παλαιᾶς παραδόσεως τῶν πατέρων διδαχθεῖσα, ἔν τε ταῖς προλαβούσαις ἱεραῖς συνόδοις ἐδίδαξε καὶ νῦν ἐν ταύτῃ διδάσκει εἶναι τε Πουργατώρειον καὶ τὰς ἐκεῖ κατεχομένας ψυχὰς ταῖς τῶν ζώντων πιστῶν συνυπουργίαις διὰ προσευχῶν δηλονότι καὶ εὐποιϊῶν γινομένας, μάλιστα δὲ τῇ εὐπροσδέκτῳ θυσίᾳ τοῦ θυσιαστηρίου ὠφελεῖσθαι, διὰ τοῦτο τοῖς ἐπισκόποις παραγγέλλει ἡ ἁγία σύνοδος ἵνα τὴν περὶ τοῦ Πουργατωρείου ὑπὸ τῶν ἁγίων πατέρων καὶ τῶν ἱερῶν συνόδων παραδεδομένην ὑγιαίνουσαν διδασκαλίαν ἐπιμελῶς σπουδάσωσι πιστεύεσθαί τε καὶ κατέχεσθαι ὑπὸ τῶν χριστωνύμων πιστῶν, ἔτι δὲ διδάσκεσθαί τε καὶ πανταχοῦ κηρύττεσθαι. τὰ μέντοι δυσνοητότερά τε καὶ λεπτότερα τῶν ζητημάτων ὅσα μὴ πρὸς οἰκοδομὴν συντελεῖ, ἐξ ὧν τε ὡς ἐπὶ πολὺ οὐδεμία εὐσεβείας προσθήκη γίνεται, ταῦτα τῶν δημοσίᾳ πρὸς τοὺς ἀμαθεῖς ὄχλους γινομένων δημηγορικῶν διδαχῶν πάντως ἀποκλειέτωσαν. ἔτι δὲ καὶ ἄδηλά τινα ἢ τὰ δοκοῦντα εἶναι ψευδῆ δημοσίᾳ διαλαμβάνεσθαι μὴ ἐπιτρεπέτωσαν. πρὸς δὲ τού-

δὲ τούτοις τὰ πρὸς περιεργίαν καὶ δεισιδαιμονίαν τείνοντα ἢ αἰσχροκέρδειαν ἀπόζοντα, ἅτε δὴ σκάνδαλα καὶ προσκόμματα τῶν πιστῶν ὄντα ἀπειργέτωσαν. ἐπιμελείσθωσάν τε οἱ ἐπίσκοποι ὅπως αἱ παρὰ τῶν ἐν τῷδε τῷ βίῳ πιστῶν εὐποιΐαι, αἱ τῶν λειτουργιῶν δηλονότι θυσίαι, αἱ προσευχαί, αἱ ἐλεημοσύναι, καὶ ὅσα ἕτερα εὐσεβείας ἔργα ὑπὸ τῶν ἐν τῇ ἐνθάδε ζωῇ ὑπὲρ τῶν πιστῶς κεκοιμημένων εἴωθε γίνεσθαι, κατὰ τὴν τῆς ἐκκλησίας διαταγὴν εὐσεβῶς καὶ ὁσίως γίνωνται. καὶ τὰ ἐκ διαθήκης τινῶν ἢ κατ᾽ ἄλλον τινὰ λόγον ἐκείνοις ὀφειλόμενα μὴ ἐν παρέργῳ, ἀλλὰ ἐπιμελῶς καὶ ἀκριβῶς ὑπό τε τῶν ἱερέων καὶ τῶν ἄλλων τῆς ἐκκλησίας ὑπηρετῶν καὶ τῶν ἄλλων οἷς προσήκει, ἐπιτελῶνται.

Περὶ ἐπικλήσεως καὶ προσκυνήσεως, καὶ περὶ λειψάνων τῶν ἁγίων καὶ τῶν ἱερῶν εἰκόνων.

Παραγγέλλει ἡ ἁγία σύνοδος τοῖς ἐπισκόποις πᾶσι καὶ τοῖς λοιποῖς οἷς τὸ τοῦ διδάσκειν ἔργον καὶ φροντὶς ἐπιτέτραπται, ἵνα κατὰ τὸ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἀπὸ τῶν πρώτων τῆς τῶν χριστιανῶν εὐσεβείας χρόνων παραδεδεγμένον ἔθος καὶ τὴν τῶν ἁγίων πατέρων συναίνεσιν καὶ τὰ τῶν ἱερῶν συνόδων δόγματα, τοὺς πιστοὺς ἐν πρώτοις περὶ τῆς τῶν ἁγίων μεσιτείας καὶ ἐπικλήσεως, καὶ περὶ τῆς τῶν ἁγίων λειψάνων τιμῆς, καὶ τῆς νομίμου τῶν ἱερῶν εἰκόνων χρήσεως ἐπιμελῶς μαθητεύσωσι. διδάσκοντες αὐτοὺς ὅτι συμβασιλεύοντες τῷ Χριστῷ οἱ ἅγιοι, τὰς δεήσεις αὐτῶν ὑπὲρ τῶν ἀνθρώπων τῷ θεῷ προσφέρουσι. καλόν τε καὶ ὀνησιφόρον εἶναι τὸ ἱκετικῶς αὐτοὺς ἐπικαλεῖσθαι, ἐπί τε τῷ παρὰ τοῦ θεοῦ εὐεργεσίας τυχεῖν διὰ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καὶ κυρίου ἡμῶν, ὃς μόνος ἐστὶ λυτρωτὴς ἡμῶν καὶ σωτήρ, πρὸς τὰς ἐκείνων δεήσεις καὶ ἐπικουρείας καταφεύγειν. τοὺς δὲ φάσκοντας μὴ ἐπικαλεστέον εἶναι τοὺς ἁγίους, τοὺς ἀϊδίου μακαριότητος ἐν οὐρανοῖς ἀπολαύοντας, ἢ διαβε-

βαιου-

βεβαιουμένοις, ὑπὲρ τῶν ἀνθρώπων ἐκείνους μὴ πρεσβεύειν, ἢ τὸ ἐκείνους ἐπικαλεῖσθαι ἵνα ἔτι μὴν ὑπὲρ ἡμῶν ἑκάστου πρεσβεύσωσιν, εἰδωλολατρείαν εἶναι, ἢ τῷ τοῦ θεοῦ λόγῳ ἀντιμάχεσθαι, ἐναντιοῦσθαί τε τῇ τοῦ ἑνὸς μεσίτου θεοῦ καὶ ἀνθρώπων Ἰησοῦ Χριστοῦ τιμῇ, ἢ ἀνόητον εἶναι τοὺς ἐν οὐρανῷ βασιλεύοντας τῇ φωνῇ ἢ τῇ διανοίᾳ ἱκετεύειν, τούτους πάντας ἀσεβῶς φρονεῖν ἀποφαίνεται ἡ σύνοδος. Ἔτι τὰ τῶν ἁγίων μαρτύρων καὶ τῶν ἄλλων τῶν παρὰ Χριστῷ συζώντων ἅγια σώματα, ἅπερ μέλη Χριστοῦ ζῶντα ὑπῆρξε καὶ πνεύματος ἁγίου ναὸς, ὑπ' αὐτοῦ εἰς τὴν αἰώνιον ζωὴν ἐγερθησόμενα καὶ δοξασθησόμενα, ὑπὸ τῶν πιστῶν δεῖν σεβάζεσθαι, δι' ὧνπερ πολλὰ ἀγαθὰ ὑπὸ τοῦ θεοῦ χορηγεῖται τοῖς ἀνθρώποις. ὥστε τοὺς διαβεβαιουμένους ὅτι τοῖς τῶν ἁγίων λειψάνοις οὐδεμία ὀφείλεται τιμὴ καὶ προσκύνησις, ἢ ὅτι ταῦτά τε καὶ τὰ λοιπὰ ἱερὰ μνημόσυνα ἀνονήτως ὑπὸ τῶν πιστῶν τιμῶνται, εἰς μάτην τε αἱ τῶν ἁγίων μνῆμαι ὑπὲρ τοῦ παρ' αὐτῶν ἐπικουρείας ἐπιτυχεῖν ἐνδελεχῶς ἐπισκέπτονται, πάντως ἀποδοκιμάζεσθαι δεῖν, ὡς δὴ καὶ πάλαι ἀπεδοκίμασε καὶ νῦν ἀποδοκιμάζει ἡ ἐκκλησία. Παρὰ δὲ ταῦτα τὰς τοῦ δεσπότου Χριστοῦ καὶ τὰς τῆς παρθένου θεοτόκου τάς τε τῶν ἄλλων ἁγίων εἰκόνας ἐν τοῖς ναοῖς μάλιστα δεῖν ἔχειν τε καὶ παρακατέχειν, καὶ τὴν πρέπουσαν τιμήν τε καὶ προσκύνησιν ἀπονέμειν. οὐχ ὅτι πιστευτέον εἴη θειότητά τινα ἢ δύναμιν αὐταῖς ἐνυπάρχειν δι' ἣν δέοι αὐτὰς σεβάζεσθαι, ἢ ὅτι δέοι παρ' αὐτῶν αἰτεῖσθαί τι ἢ πεποίθησιν ἐν ταῖς εἰκόσι παγῆναι, ὡς τὸ πάλαι ἐγίνετο ὑπὸ τῶν ἐθνῶν ἃ ἐν τοῖς εἰδώλοις τὴν ἐλπίδα αὐτῶν ἐτίθεντο, ἀλλ' ὅτι ἡ ἀποδιδομένη αὐτοῖς τιμὴ, πρὸς τὰ πρωτότυπα ἀναφέρεται καὶ διαβαίνει ἃ δι' αὐτῶν παριστάνεται, ἵν' οὕτως διὰ τῶν εἰκόνων ἃς ἀσπαζόμεθα καὶ ὧν ἐνώπιον τὰς κεφαλὰς ἀποκαλυπτόμεθα καὶ προσπίπτομεν, τὸν Χριστὸν προσκυνῶμεν καὶ τοὺς ἁγίους ὧν ἐκεῖναι ὁμοίωμα

φέρου-

φέρουσι τιμωμένην. ὅπερ τοῖς τῶν ἱερῶν συνόδων καὶ μάλιστα τῆς ἐν Νικαίᾳ δευτέρας δόγμασι κατὰ τῶν εἰκονομάχων κεκύρωται. Ἐκεῖνο δὲ ἐπιμελῶς διδασκέτωσαν οἱ ἐπίσκοποι ὅτι ταῖς διὰ ζωγραφίας ἢ ἄλλων ὁμοιώσεων καὶ μιμήσεων παριστανομέναις τῶν τῆς ἡμετέρας λυτρώσεως μυστηρίων ἱστορίαις ὁ λαὸς μαθητεύεται καὶ στηρίζεται ἐν τῷ τὰ ἄρθρα τῆς πίστεως ὑπομιμνήσκεσθαι καὶ συνεχῶς ἀναλογίζεσθαι· ὅτι τε ἐκ τῶν ἱερῶν εἰκόνων μέγα ὄφελος περιγίνεται, οὐ μόνον τῷ τὸν λαὸν ὑπομιμνήσκεσθαι τῶν παρὰ τοῦ Χριστοῦ γινομένων εὐεργεσιῶν τε καὶ χαρισμάτων, ἀλλὰ καὶ τῷ τὰ ὑπὸ τοῦ θεοῦ διὰ τῶν ἁγίων γινόμενα θαύματα καὶ σωτηριώδη παραδείγματα τοῖς τῶν πιστῶν ὀφθαλμοῖς ὑποβάλλεσθαι, ὅπως ὑπὲρ αὐτῶν τῷ θεῷ εὐχαριστῶσι, καὶ πρὸς μίμησιν τῶν ἁγίων τὸν ἑαυτῶν βίον τε καὶ τὰ ἤθη ῥυθμίζωσι, ἐγείρωνταί τε πρὸς τὸ τὸν θεὸν προσκυνεῖν τε καὶ ἀγαπᾶν, καὶ τῆς εὐσεβείας ἀντέχεσθαι. Τοὺς δὲ τἀναντία τοῖς δόγμασι τούτοις διδάσκοντας ἢ φρονοῦντας ἀναθεματίζει ἡ σύνοδος. Εἰ δέ τινες ἐν ταῖς ἱεραῖς ταύταις καὶ σωτηριώδεσι παρατηρήσεσι παρεισδεδύκασι καταχρήσεις, ταύτας ἡ ἁγία σύνοδος παντελῶς ἐξαλειφθῆναι μάλα σφόδρα ἐπιθυμεῖ, ὥστε μή τινας ψευδοῦς δόγματος εἰκόνας καὶ κινδυνώδεις πλάνης ἀφορμὴν τοῖς ἀμαθέσι παρεχούσας καθίστασθαι. ἐὰν δέ ποτε τὰς τῆς θείας γραφῆς ἱστορίας καὶ τὰ διηγήματα τῷ ἀπαιδεύτῳ πλήθει ἐκτυποῦσθαι καὶ ἀπεικονίζεσθαι συμβήσεται συμφέρειν, διδασκέσθω ὁ λαὸς ὡς οὐ διὰ τοῦτο ἡ θεότης οὕτως σχηματίζεται, ὡσανεὶ σωματικοῖς ὀφθαλμοῖς ὁρᾶσθαι ἢ χρώμασι καὶ σχήμασι παρασταθῆναι δυναμένη. ἐν δὲ δὴ τῇ τῶν ἁγίων ἐπικλήσει καὶ τῇ τῶν ἱερῶν λειψάνων προσκυνήσει καὶ τῇ τῶν εἰκόνων ἱερᾷ χρήσει πᾶν δεισιδαιμονίας εἶδος ἀναιρείσθω, πᾶσα αἰσχροκέρδεια ὑπεροριζέσθω, καὶ τέλος πᾶσα ἀσέλγεια ἐκκλινέσθω,

ὥστε

ὥστε μὴ ἀσέμνῳ καὶ ἀπρεπεῖ καλλωπισμῷ γράφεσθαι καὶ κοσμεῖσθαι τὰς εἰκόνας. ταῖς δὲ τῶν ἁγίων ἑορταστικαῖς πανηγύρεσι καὶ τῇ τῶν ἁγίων λειψάνων ἐπισκέψει τε καὶ προσκυνήσει μὴ εἰς μέθας καὶ κώμους οἱ ἄνθρωποι καταχρήσθωσαν, ὡς εἰ καὶ διὰ σπατάλης καὶ ἀσελγείας τὰς ἑορτὰς εἰς τιμὴν τῶν ἁγίων ἄγεσθαι δέοι. τὸ τελευταῖον δὲ, τοσαύτην περὶ ταῦτα ἐπιμέλειαν καὶ σπουδὴν οἱ ἐπίσκοποι παρεχέσθωσαν, ὥστε μηδὲν ἄτακτον ἢ προσθυστέρως καὶ αὐτοσχεδίως κατεσκευασμένον, μηδὲν βέβηλον ἢ ἄσχημον φαίνεσθαι. τῷ γὰρ οἴκῳ κυρίου πρέπει ἁγίασμα. ὥστε δὲ ταῦτα πιστότερον τηρεῖσθαι, ὁρίζει ἡ ἁγία σύνοδος μηδενὶ ἐξεῖναι ἐν μηδενὶ τόπῳ ἢ ἐκκλησίᾳ, κἂν ὁπωσοῦν ἐπεξῃρημένη ᾖ, μηδεμίαν ἀσυνήθη ἀνατιθέναι εἰκόνα, ἐὰν μὴ πρότερον παρὰ τοῦ ἐπισκόπου δοκιμασθῇ. μήτε δὲ καινὰ θαύματα ἢ καινὰ λείψανα παραδεκτέα εἶναι, μὴ τοῦ αὐτοῦ ἐπιγνόντος αὐτὰ καὶ δοκιμάσαντος. ὃς αὐτίκα ἐπειδάν τι περὶ αὐτῶν ἔχῃ καταληφθὲν, παραλαβὼν ἐν συμβουλίῳ θεολόγους τε καὶ ἄλλους εὐσεβεῖς ἄνδρας, ἐπιτελείτω ἃ ἂν τῇ ἀληθείᾳ καὶ τῇ εὐσεβείᾳ συνᾴδοντα κρίνοι. εἰ δέ τι ἀμφισβητήσιμον ἢ δυσχερὲς κατακεχρημένον ἔθος δέοι ἀναιρεῖν ἢ ὅλως βαρυτέρα τις περὶ τῶν τοιούτων πραγμάτων ἀμφισβήτησις ἐμπέσῃ, μὴ πρότερον διακρινέτω τὴν ἀμφισβήτησιν ὁ κατὰ τόπον ἐπίσκοπος, πρὶν ἂν τὴν τοῦ μητροπολίτου καὶ τῶν τῆς ἐπαρχίας συνεπισκόπων ἐν συνόδῳ γινομένην ἀπόφασιν ἀκούσῃ, ὥστε μέντοι μηδὲν καινὸν ἢ ἄηθες ἐν τῇ ἐκκλησίᾳ χωρὶς βουλῆς καὶ γνώμης τοῦ κατὰ Ῥώμην ἁγιωτάτου ἀρχιερέως ἐξεῖναι καθίστασθαι.

ΔΟΓΜΑ ΠΕΡΙ ΤΩΝ ΚΑΛΟΥΜΕνων Ινδουλγεντιῶν.

Τῆς τοῦ χορηγεῖν τὰς καλουμένας ἰνδουλγεντίας ἐξουσίας παρὰ τοῦ δεσπότου Χριστοῦ τῇ ἐκκλησίᾳ δωρηθείσης, καὶ τῆς ἐκκλησίας τῇ θεόθεν αὐτῇ παραδοθείσῃ ἐξουσίᾳ ταύτῃ κἂν τοῖς ἀρχαιοτάτοις χρόνοις κεχρημένης, διὰ τοῦτο νῦν ἡ ἱερὰ καὶ ἁγία σύνοδος τὴν τῶν τοιούτων ἀνέσεων χρῆσιν τῷ χριστωνύμῳ λαῷ σωτήριον οὖσαν, καὶ τῇ ἱερῶν συνόδων αὐθεντίᾳ δεδοκιμασμένην, ἐν τῇ ἐκκλησίᾳ καθεκτέαν εἶναι διδάσκει καὶ ἀποφαίνεται. ἀναθεματίζει τε τοὺς ἀνωφελεῖς αὐτὰς εἶναι ἀποφαινομένους, ἢ τὴν τοῦ ταύτας χαρίζεσθαι ἐξουσίαν ἐν τῇ ἐκκλησίᾳ ἀρνουμένους. ἐν μέν τοι τῷ ταύτας διδόναι, μέτρῳ χρῆσθαι τοὺς διδόντας κατὰ τὸ παλαιὸν καὶ δόκιμον ἔθος τῆς ἐκκλησίας βούλοιτ' ἂν, ὥστε μὴ τῇ περὶ ταῦτα εὐχερείᾳ ἡ ἐκκλησιαστικὴ παιδεία ἐκλύηται. τὰς δὲ ἐν τῷ πράγματι τούτῳ παρεισδεδυκυίας καταχρήσεις δι' ἃς τὸ ἐπίσημον ὄνομα τοῦτο τῶν ἰνδουλγεντιῶν ὑπὸ τῶν αἱρετικῶν βλασφημεῖται ἐπανορθωθῆναι ἐπιθυμοῦσα, διὰ τοῦ παρόντος δόγματος καθόλου ἐκρίζεται πᾶσαν πονηρὰν ἐργασίαν καὶ πορισμὸν ἐν τῷ τούτων τυγχάνειν ὅθεν μεγίστη τῶν καταχρήσεων ἀφορμὴ εἰς τὸν χριστώνυμον λαὸν εἰσερρύηκε πάντως ἐξαλειπτέαν εἶναι. τὰς δὲ ἐκ δεισιδαιμονίας ἢ ἀπαιδευσίας ἢ ἀνευλαβείας ἢ ἄλλοθέν ποτε ἐπιγεγενημένας καταχρήσεις, ἐπεὶ διὰ τὰς πολυχιδεῖς λύμας τὰς κατὰ διαφόρους τόπους καὶ ἐπαρχίας, καθ' ἃς τὰ τοιαῦτα πλημμελεῖται ἐπιχωριαζούσας, οὐκ εὐχερῶς ἐνδέχεται κατ' εἶδος ἀπαγορεύειν, πᾶσι παραγγέλλει τοῖς ἐπισκόποις ἡ ἁγία σύνοδος ἐπιμελῶς ἕκαστον τὰς κατὰ τὴν ἑαυτοῦ ἐκκλησίαν καταχρήσεις συλλέξαι, καὶ κατὰ τὴν τὸ πρῶτον γενησομένην τοπικὴν σύνοδον πρὸς τοὺς συνεπισκόπους ἀνενεγκεῖν, ἵνα καὶ τῇ τούτων ψήφῳ γνωσθεῖσαι, παραυτίκα πρὸς τὸν

τῆς Ρώμης ἄκρον ἀρχιερέα ἀπενεχθῶσι, καὶ τῇ τούτου αὐθεντίᾳ τε καὶ φρονήσει τεθ' ὅ αὖ τῇ καθολικῇ ἐκκλησίᾳ συνοίσειν μέλλει, περὶ τούτων διαγνωσθῇ, ὥστ' οὕτως τὸ τῶν ἁγίων ἰνδουλγεντιῶν χάρισμα εὐσεβῶς καὶ ὁσίως καὶ ἀδωροδοκήτως πᾶσι τοῖς πιστοῖς χορηγεῖσθαι.

Περὶ διακρίσεως βρωμάτων, νηστειῶν τε, καὶ ἑορτασίμων ἡμερῶν.

Πρὸς τούτοις παραινεῖ ἡ ἁγία σύνοδος καὶ κατὰ τῆς ἁγιωτάτης τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν παρουσίας πάντας ὁρκίζει τοὺς ποιμένας, ἵνα ὡς καλοὶ στρατιῶται πάντα ὅσαπερ ἡ ἁγία Ρωμαϊκὴ ἐκκλησία ἡ πασῶν τῶν ἐκκλησιῶν μήτηρ καὶ διδάσκαλος διώρισεν, ἔτι δὲ μὴν ὅσα ἐν ταύτῃ τε καὶ ταῖς ἄλλαις οἰκουμενικαῖς συνόδοις διωρισμένα ἐστὶ, τοῖς πιστοῖς ἅπασι σπουδαίως συνιστάνωσι. πᾶσαν τε σπουδὴν ποιῶνται ὅπως ἐκείνοις τε πᾶσι καὶ τοῖς πρὸς νέκρωσιν μάλιστα τῆς σαρκὸς συντελοῦσιν ὦσι πειθήνιοι. οἷά περ εἰσὶν αἵτε τῶν βρωμάτων διακρίσεις καὶ αἱ νηστεῖαι, ἔτι δὲ τὰ πρὸς αὔξησιν εὐσεβείας τείνοντα, οἷον ἡ τῶν ἑορτασίμων ἡμερῶν μετὰ αἰδοῦς καὶ εὐλαβείας πανήγυρις. συχνῶς τοῖς λαοῖς παραγγέλλοντες ὑποτάσσεσθαι τοῖς προεστῶσιν αὐτῶν, οἷς οἱ ὑπακούοντες μισθαποδότου τοῦ θεοῦ ἀκούσουσι, οἱ δὲ καταφρονοῦντες, αὐτοῦ τοῦ θεοῦ ἐκδικητοῦ πειραθήσονται.

Δόγμα περὶ πίνακος βιβλίων, καὶ περὶ τοῦ κατηχισμοῦ, ἔτι δὲ ὡρολογίου τῶν κανονικῶν ὡρῶν, καὶ περὶ τοῦ λειτουργικοῦ βιβλίου.

Η ἱερὰ καὶ ἁγία σύνοδος αὕτη ἐν τῇ δευτέρᾳ πράξει τῇ ἐπὶ τοῦ μακαριωτάτου δεσπότου ἡμῶν Πίου τετάρτου γινομένῃ, ἐκλεκτοῖς τισὶ πατράσιν ἐπέτρεψεν, ἵνα περὶ τῶν ὑπόπτων καὶ ὀλεθρίων βιβλίων καὶ περὶ διαφόρων δοκιμασιῶν

σιῶν τῶν ἐπ' αὐτοῖς γεγενημένων, τί δεῖ ποιεῖν σκέψαιντο, καὶ πρὸς αὐτὴν τὴν ἁγίαν σύνοδον ἀνενέγκαιεν. πυνθανομένη τοίνυν καὶ τὸ παρὸν ἐκτετελέσθαι ἤδη ὑπ' ἐκείνων τὸ ἔργον τοῦτο, καὶ ὅμως διὰ τὸ ποικίλον καὶ πολυπληθὲς τῶν βιβλίων μὴ ἐγχωροῦντος τοῦ νῦν καιροῦ περὶ τούτων εὐχερῶς καὶ εὐκρινῶς τὴν ἁγίαν σύνοδον διαγινώσκειν, διὰ ταῦτα πᾶν ἔτι ὑπὸ τῶν πατέρων ἐκείνων ἐξείργασται, τῷ μακαριωτάτῳ Πάπᾳ Ῥώμης ἀπενεχθῆναι προστάττει. ὅπως τῇ ἐκείνου γνώμῃ καὶ αὐθεντίᾳ περανθῇ καὶ δημοσιευθῇ. ταυτὸ δὲ καὶ περὶ τοῦ κατηχισμοῦ ὑπὸ τῶν οἷς ἐπιτέτραπται, καὶ περὶ τοῦ τὴν ἀκολουθίαν τῆς λειτουργίας περιέχοντος βιβλίου, ἔτι δὲ τοῦ ὡρολογίου τῶν κανονικῶν ὡρῶν, γίνεσθαι προστάττει.

Περὶ τοῦ δεῖν παραδέχεσθαι καὶ διατηρεῖσθαι τὰ τῇ συνόδῳ δεδογμένα.

Τοσαύτη γέγονεν ἡ τοῖς καθ' ἡμᾶς χρόνοις κατειληφυῖα συμφορά τε καὶ δυσπραγία καὶ ἡ τῶν αἱρετικῶν πεπαλαιωμένη πονηρία, ὥστε μηδὲν τῶν τῆς ἡμετέρας πίστεως συστατικῶν οὕτω κατάδηλον εἶναι ἢ οὕτως ἑδραίως καθεστηκός, ὃ μὴ τῇ τοῦ ἐχθροῦ τοῦ ἀνθρωπίνου γένους ὑποθήκῃ ἐκεῖνοι ἐλυμήναντο. διὸ περὶ ἐκεῖνο μάλιστα σπουδὴν ἔθετο ἡ ἁγία σύνοδος, ὅπως τὰς κυριωτάτας τῶν καθ' ἡμᾶς αἱρετικῶν πλάνας κατακρίνοιέ τε καὶ ἀναθεματίσειε, καὶ τὴν ἀληθινήν τε καὶ καθολικὴν διδασκαλίαν παραδοίη τε καὶ διδάξειε, καθὼς δὴ κατέκρινέ τε καὶ ἀνεθεμάτισε καὶ διωρίσατο. ἐπεὶ δὴ δὲ τοσούτων ἐπισκόπων πλῆθος ἐκ διαφόρων τῆς οἰκουμένης ἐπαρχιῶν συγκεκλημένων ἐπὶ τοσοῦτον χρόνον τῶν ἰδίων ἐκκλησιῶν ἀποδημεῖν ἄνευ μεγάλης ζημίας τῆς ἑκάστῳ ἐμπιστευθείσης ποίμνης καὶ κοινοῦ κινδύνου οὐκ ἐνδέχεται, οὐδεμία τε ἐλπὶς καταλείπεται τοῦ τοὺς αἱρετικοὺς τοσαυτάκις ἤδη καὶ διὰ δημοσίας ἔτι μὴν πίστεως, ὡς αὐτοὶ ἐπεθύμουν,

προσκεκλημένοις καὶ ἐπὶ τοσοῦτον προσδεδοκημένοις, ἔτι ἐνταῦθα παραμείνεσθαι. καὶ διὰ ταῦτα δέον ἤδη τῷ ἱερῷ συλλόγῳ τούτῳ τέλος ἐπιθεῖναι, λείπεται νῦν ἵνα τοὺς μεγιστᾶνας πάντας ἐν κυρίῳ προτρέψηται ἡ ἁγία σύνοδος, ὡς δὴ καὶ προτρέπεται, ἵνα πρὸ ἔργου ποιήσωνται, ὅπως τὰ ὑπ᾽ αὐτῆς δεδογματισμένα, παρὰ τῶν αἱρετικῶν μὴ παρασπαράξωσι μηδὲ λυμανθῶσιν, ἀλλ᾽ ὑπό τε αὐτῶν καὶ τῶν ἄλλων πάντων μετ᾽ εὐλαβείας παραδεχθῶσι καὶ πιστῶς φυλαχθῶσιν. ἐὰν δὲ περὶ τὸ ταῦτα παραδέξασθαι δυσχέρειά τις ἀναφυῇ ἢ συμπέσωσι τινὰ (ὅπερ οὐκ οἴεται) ἐξηγήσεως ἢ διορισμοῦ δεόμενα. περὶ τὰς λοιπὰς ἐπικουρείας τὰς ὑπὸ τῆς συνόδου ταύτης καθεσταμένας πέποιθεν ἡ ἁγία σύνοδος τὸν μακαριώτατον Ῥώμης ἀρχιερέα ἐπιμελήσεσθαι ὅπως ἤτοι μεταπεμφθέντων ἐξ ἐκείνων μάλιστα τῶν ἐπαρχιῶν ὅθεν ἀναπεφύκοι ἡ δυσχέρεια τῶν αὐτῷ δοξάντων ἐπιτηδείων εἰς τὸ τὰ τοιαῦτα μεταχειρίσασθαι, ἢ καὶ διὰ τῆς καθόλου συγκροτησομένης συνόδου, ἐὰν ἀναγκαῖον εἶναι κρινεῖ, ἢ ὁποίῳ δήποτε ἄλλῳ τρόπῳ ὃς ἂν ἐπιτηδειότερος αὐτῷ φανήσεται, ταῖς ἑκάστης ἐπαρχίας χρείαις εἰς δόξαν θεοῦ καὶ γαλήνην τῆς ἐκκλησίας προνοηθῇ.

Περὶ τοῦ δεῖν ἀπαγγελθῆναι ἐν τῷ συλλόγῳ τούτῳ τὰ ἐπὶ Παύλου τρίτου καὶ Ἰουλίου τρίτου γενόμενα δόγματα τῆς συνόδου.

Ἐπειδὴ ἐν διαφόροις χρόνοις τὰ μὲν ἐπὶ Παύλου τρίτου, τὰ δὲ ἐπὶ Ἰουλίου τρίτου τῆς μακαρίας μνήμης ἄκρων ἀρχιερέων πολλὰ κατὰ τὴν ἱερὰν ταύτην σύνοδον περί τε τὴν εἰς τὴν πίστιν καὶ τῶν εἰς τὴν τῶν ἠθῶν ἐπανόρθωσιν ἀνηκόντων δογμάτων διατέτακταί τε καὶ διώρισται, ἀρέσκει τῇ ἁγίᾳ συνόδῳ ταῦτα νῦν ἀπαγγελθῆναι τε καὶ ἀναγνωσθῆναι.

Ἀνεγνώσθησαν.

Περὶ τοῦ περατωθῆναι τὴν σύνοδον, καὶ περὶ τῆς ἐπικυρώσεως αἰτηθῆναι παρὰ τοῦ ἁγιωτάτου Πάπα.

Επιφανέστατοι κύριοι καὶ αἰδεσιμώτατοι πατέρες ἀρέσκει ὑμῖν ὥστε εἰς δόξαν θεοῦ παντοκράτορος τέλος τῇ ἱερᾷ οἰκουμενικῇ συνόδῳ ταύτῃ ἐπιτεθῆναι, πάντων τε καὶ ὁμοῦ ἑνὸς ἑκάστου τῶν ἐπί τε τῶν τῆς μακαρίας μνήμης Παύλου τρίτου καὶ Ιουλίου τρίτου Ρωμαϊκῶν ἀρχιερέων καὶ τῆς νῦν ἐπὶ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου Πάπα Πίου τετάρτου ἐν αὐτῇ δεδογματισμένων καὶ διωρισμένων ἐπικύρωσιν ἀπ' ὀνόματος τῆς συνόδου ταύτης διὰ τῶν τῆς ἀποστολικῆς καθέδρας Λεγάτων τῶν καὶ ἐν ταύτῃ τῇ συνόδῳ προεδρευσάντων παρὰ τοῦ αὐτοῦ ἁγιωτάτου Πάπα αἰτηθῆναι;

Απεκρίθησαν, Αρέσκει.

Μετὰ ταῦτα ὁ ἐπιφανέστατος καὶ αἰδεσιμώτατος Καρδινάλις Μορῶνος ὁ πρόεδρος τῶν τῆς ἀποστολικῆς καθέδρας Λεγάτων εὐλογήσας τοὺς παρόντας ἐν τῷ συνεδρίῳ, εἶπε. μετὰ τὸ εὐχαριστῆσαι τῷ θεῷ, αἰδεσιμώτατοι πατέρες, ἄπιτε ἐν εἰρήνῃ. ἀπεκρίθησαν, Αμήν.

Επιφωνήσεις πατέρων ἐπὶ τῷ τέλει τῆς συνόδου.

Καρδινάλις ὁ ἀπὸ Λοταρίγγων. Τῷ μακαριωτάτῳ ἡμῶν δεσπότῃ Πάπα Πίῳ τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας ἀρχιερεῖ πολλὰ τὰ ἔτη καὶ αἰωνία ἡ μνήμη.

Απόκρισις πατέρων. Κύριε ὁ θεὸς τὸν ἁγιώτατον πατέρα χρονιώτατα τῇ ἐκκλησίᾳ σου διαφύλαξον εἰς πολλὰ ἔτη.

Καρδ. ταῖς τῶν μακαριωτάτων ἄκρων ἀρχιερέων ψυχαῖς Παύλου τρίτου καὶ Ιουλίου τρίτου, ὧν τῇ αὐθεντίᾳ ἡ οἰ-

κουμενικὴ σύνοδος αὕτη κατήρχθη, εἰρήνη παρὰ κυρίου καὶ αἰωνία δόξα καὶ μακαρισμὸς ἐν φωτὶ ἁγίων.

Ἀπόκρ. τὸ μνημόσυνον αὐτοῦ ἐν εὐλογίᾳ εἴη.

Καρδ. τοῦ αὐτοκράτορος Καρόλου πέμπτου καὶ τῶν γαληνοτάτων βασιλέων τῶν τὴν οἰκουμενικὴν ταύτην σύνοδον προβιβασάντων καὶ ὑπερασπισάντων αὐτῆς, τὸ μνημόσυνον ἐν εὐλογίᾳ εἴη. Ἀπόκρ. ἀμήν, ἀμήν.

Καρδ. τῷ γαληνοτάτῳ καὶ ἀεισεβεστάτῳ Φερδινάνδῳ ὀρθοδόξῳ καὶ εἰρηνοποιῷ αὐτοκράτορι καὶ πᾶσι τοῖς βασιλεῦσι πολιτείαις τε καὶ μεγιστᾶσιν τῶν χριστιανῶν, πολλὰ τὰ ἔτη.

Ἀπόκρ. τὸν εὐσεβῆ καὶ ὀρθόδοξον αὐτοκράτορα κύριε διαφύλαξον. βασιλεῦ οὐράνιε τοὺς ἐπιγείους βασιλεῖς τοὺς τῆς ὀρθοδόξου πίστεως ὑπερασπιστὰς διαφύλαξον.

Καρδ. τοῖς τῆς κατὰ Ῥώμην ἀποστολικῆς καθέδρας Ληγάτοις τοῖς ἐν τῇ συνόδῳ ταύτῃ προεδρεύσασι, πλείστη χάρις καὶ πολλὰ τὰ ἔτη.

Ἀπόκρ. πλείστη χάρις, ὁ κύριος ἀνταποδοίη αὐτοῖς.

Καρδ. τοῖς αἰδεσιμωτάτοις Καρδινάλεσι καὶ τοῖς ἐπιφανέσι πρεσβευταῖς.

Ἀπόκρ. πλείστη χάρις, καὶ πολλὰ τὰ ἔτη.

Καρδ. τοῖς ἁγιωτάτοις ἐπισκόποις μακροβιότης καὶ κατευοδωμένη εἰς τὰς οἰκείας ἐκκλησίας ἐπάνοδος.

Ἀπόκρ. τοῖς κήρυξι τῆς ἀληθείας ἀΐδιον τὸ μνημόσυνον. τῇ ὀρθοδόξῳ γερουσίᾳ πολλὰ τὰ ἔτη.

Καρδ. τῆς ἱερᾶς καὶ ἁγίας οἰκουμενικῆς ἐν Τριδέντῳ συνόδου τὴν πίστιν ὁμολογῶμεν, τὰ δόγματα ἀεὶ τηρήσωμεν.

Ἀπόκ. διὰ παντὸς ὁμολογῶμεν, διὰ παντὸς τηρήσωμεν.

Καρδ. πάντες οὕτω πιστεύομεν, πάντες ταυτὸ φρονοῦμεν, πάντες ὁμογνωμονοῦντες καὶ ἀποδεχόμενοι ὑπογράφομεν. αὕτη τοῦ μακαρίου Πέτρου καὶ τῶν ἁγίων ἀποστόλων ἡ πίστις. αὕτη ἡ τῶν πατέρων ἡ πίστις. αὕτη τῶν ὀρθοδόξων ἡ πίστις.

Ἀπό-

Απόκ. ὕτω πιστεύομεν, ὕτω φρονοῦμεν, ὕτω ὑπογράφομεν.

Καρδ. Τούτων τῶν δογμάτων ἀντεχόμενοι, ἄξιοι γενοίμεθα τῶν οἰκτιρμῶν καὶ τῆς χάριτος τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως Ιησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ πάντων τῶν ἁγίων.

Απόκρ. γένοιτο, γένοιτο. ἀμὴν, ἀμήν.

Καρδ. ἀνάθεμα πάντες οἱ αἱρετικοί.

Απόκρ. ἀνάθεμα, ἀνάθεμα.

Μετὰ ταῦτα παρήγγειλαν οἱ τοῦ Πάπα Λεγάτοι καὶ προεδρεύοντες, ἐπὶ ἀφορισμῷ τοῖς πατράσι πᾶσιν, ἵνα πρὸ τοῦ ἀπελθεῖν αὐτοὺς τῆς τῶν Τριδεντίνων πόλεως, ἰδίᾳ χειρὶ ὑπογράψωσι τοῖς συνοδικοῖς δόγμασιν, ἢ διὰ δημοσίου ἰνστρουμέντου δοκιμάσωσι καὶ συναινέσωσι. οἵτινες μετὰ ταῦτα πάντες ὑπέγραψαν, διακόσιοι πεντήκοντα πέντε ὄντες τὸν ἀριθμόν. δηλονότι Λεγάτοι τοῦ Πάπα τέσσαρες. Καρδινάλεις δύο. Πατριάρχαι τρεῖς. Αρχιεπίσκοποι εἰκοσιπέντε. Επίσκοποι ἑκατὸν ἑξήκοντα ὀκτώ. Αββάδες ἑπτά. Επίτροποι τῶν μὴ παραγεγονότων, μετὰ νομίμου ἐπισκοπικοῦ γράμματος παραγενόμενοι, τριακονταεννέα. Γενεράλιοι ὀρδίνων ἑπτά.

ΕΠΙΚΥΡΩΣΙΣ ΤΗΣ ΣΥΝΟΔΟΥ.

Ημεῖς Αλέξανδρος τοῦ ἁγίου Λαυρεντίου ἐν Δαμάσῳ διάκονος Καρδινάλις ἐκ Φαρνεσίου, τῆς ἁγίας Ρωμαϊκῆς ἐκκλησίας Πρωτοκαγκελλάριος, πιστούμεθα καὶ μαρτυροῦμεν, ὅτι σήμερον ἡμέρα τετράδι, μηνὸς Ιανουαρίου εἰκοστῇ ἕκτῃ τοῦ ,αφξδ΄ ἔτους, πέμπτου ὄντος τῆς ἀρχιερατείας τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου Πίου θείᾳ προνοίᾳ Παπα τετάρτου, ἐν τῷ κατ' ἰδίαν συνεδρίῳ τῷ παρ' ἅγιον Πέτρον οἱ αἰδεσιμώτατοί μου κύριοι Καρδινάλεις ὅ, τε Μορῶνος καὶ ὁ Σιμωνέτας ἐκ τῆς ἐν Τριδέντῳ γενομένης ἱερᾶς συνόδου ἔναγχος ἐπανήκοντες, καθ' ἣν ἅτε δὴ τῆς ἀποστολικῆς καθέδρας

Λεγά-

Λεγάτοι προέδρων, ᾐτήσαντο παρὰ τοῦ αὐτοῦ ἁγιωτάτου ἡμῶν δεσπότου τὰ κάτω γεγραμμένα. Μακαριώτατε πάτερ, ἐν τῷ περὶ τῆς ἀπολύσεως τῆς ἐν Τριδέντῳ οἰκουμενικῆς συνόδου τότε κατὰ τὴν τετάρτην τοῦ Δεκεμβρίου μηνὸς γενομένῳ δόγματι ἔγνωσαι, ἵνα διὰ τῶν τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῆς ἀποστολικῆς καθέδρας Λεγάτων καὶ προέδρων, ἀπ᾽ ὀνόματος τῆς αὐτῆς συνόδου αἰτηθῇ παρὰ τῆς ἡμετέρας ἁγιωσύνης ἐπικύρωσις πάντων ὁμοῦ καὶ ἑνὸς ἑκάστου τῶν τε ἐπὶ Παύλου τρίτου καὶ Ἰουλίου τρίτου τῶν τῆς μακαρίας μνήμης ἀρχιερέων, καὶ τῶν κατὰ τὸν χρόνον τῆς ὑμετέρας ἁγιωσύνης γενομένων καὶ διωρισμένων κατ᾽ ἐκείνην τὴν σύνοδον δογμάτων. διόπερ ἡμεῖς Ἰωάννης Καρδινάλις Μορῶνος καὶ Λουδβῖκος Καρδινάλις Σιμωνέτας, οἱ τότε Λεγάτοι καὶ πρόεδροι ὑπήρχομεν, τὰ κατ᾽ ἐκεῖνο τὸ δόγμα συμπεφωνημένα διαπράξασθαι βουλόμενοι, ταπεινοφρόνως αἰτούμεθα ἀπ᾽ ὀνόματος τῆς οἰκουμενικῆς ἐκείνης συνόδου, ἵνα ἡ ὑμετέρα ἁγιωσύνη ἀξιώσηται ἐπικυρῶσαι ἓν ἕκαστον καὶ ὁμοῦ πάντα τά τε ἐπὶ Παύλου τρίτου καὶ Ἰουλίου τρίτου τῶν τῆς μακαρίας μνήμης ἀρχιερέων, καὶ τὰ κατὰ τὸν χρόνον τῆς ὑμετέρας ἁγιωσύνης κατ᾽ ἐκείνην τὴν σύνοδον δεδογματισμένα καὶ διωρισμένα. Ἅπερ ἀκούσασα ἡ ἁγιωσύνη αὐτοῦ, καπιδοῦσα τε καὶ ἀναγνοῦσα τὴν τοῦ ῥηθέντος δόγματος περιοχὴν, καὶ λαβοῦσα τὰς ψήφους καὶ γνώμας τῶν αἰδεσιμωτάτων μου κυρίων Καρδινάλεων, ἀπεκρίθη διὰ τῶν ὑπογεγραμμένων ῥημάτων. Τῇ διὰ τῶν προειρημένων ἡμετέρων Λεγάτων γινομένῃ ἡμῖν ἀπὸ ὀνόματος τῆς ἐν Τριδέντῳ οἰκουμενικῆς συνόδου περὶ τοῦ ἐπικυρωθῆναι αὐτῆς τὰ δόγματα αἰτήσει καταινοῦντες, ἓν ἕκαστον καὶ πάντα τά τε ἐπὶ τῶν τῆς μακαρίας μνήμης Παύλου τρίτου καὶ Ἰουλίου τρίτου προηγησαμένων ἡμᾶς ἀρχιερέων, καὶ τὰ ἐπὶ τῶν ἡμετέρων χρόνων κατ᾽ ἐκείνην τὴν σύνοδον

δεδογ

δεδογματισμένα καὶ διωρισμένα τῇ ἀποστολικῇ ἡμῶν αὐθεντίᾳ, ἔτι δὲ μὴν καὶ τῇ τῶν αἰδεσίμων ἡμετέρων ἀδελφῶν Καρδινάλεων βουλῇ καὶ γνώμῃ, γινομένου ἡμῖν σὺν αὐτοῖς περὶ τούτων πεφροντισμένως συμβουλίου, ἐπικυροῦμεν καὶ ὑπὸ πάντων τῶν χριστωνύμων πιστῶν παραδεχθῆναι καὶ ἀκηράτως τηρηθῆναι κελεύομεν, εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, Ἀμήν.

Τέλος τῆς ἐν Τριδέντῳ συνόδου.

ΕΞΗΓΗΣΕΙΣ ΛΑΤΙΝΙΚΩΝ ΛΕΞΕΩΝ, ἔτι μὴν καὶ τῶν ἀσαφεστέρων.

Ἀββάδεις, οἱ τῶν μοναχικῶν κοινοβίων ἡγούμενοι. Ἄλβις, κυριακὴ ἡ λεγομένη καινή. Ἀπόλυσις, ἡ συγχώρησις. Ἀρέσκει, ῥῆμα δι' οὗ τὰ δόγματα κατ' ἐρώτησιν προὐτέθη τοῖς πατράσιν, ἐξάρχοντος μὲν τοῦ πρώτου τῶν τοῦ Πάπα τοποτηρητῶν (ὃς καὶ τὰς πράξεις κατήγγελε) ἀποκρινομένων δὲ διὰ τοῦ αὐτοῦ ῥήματος τῶν πατέρων τῆς συνόδου πάντων. Βεβαίωσις, ἡ ἐπικύρωσις ἡ διὰ τοῦ χρίσματος δηλονότι γινομένη. Βοῦλλα, τὸ δίπλωμα. Γενεράλιοι ὀρδίνων, οἱ τῶν φρατριῶν οἰκουμενικοὶ προεστῶτες. Ἔλευσις, ἡ πρώτη παρουσία καὶ ἐπιφάνεια τοῦ Χριστοῦ. Ἐξομολόγησις, ἡ ἐξαγόρευσις. Ἐπεξηρημένη, ἡ διὰ παρανομίας τινὸς ἐλευθέρα γινομένη. Ἐπιφωνήσεις, αἱ εὐφημίαι, αἵ τινες ἐγίνοντο ἐξάρχοντος μὲν ἑνὸς τῶν ἐν τῇ συνόδῳ παρόντων τῆς Ῥωμαϊκῆς ἐκκλησίας Καρδινάλεων, ἀποκρινομένων δὲ τῶν τῆς συνόδου πατέρων πάντων. Εὐχαριστία, ἡ ἁγία κοινωνία. Ἱερεῖς κατὰ κόσμον, οἱ μὴ ἀποταξάμενοι. Ἱερεῖς ὑπὸ κανόνα, οἱ ἀποταξάμενοι. Ἱερὸν τάγμα, ἡ χειροτονία. Ἰνδουλγέντιαι, αἱ τῶν ὀφειλομένων τοῖς ἁμαρτήμασι ποινῶν ἐν τῷ

μέλλοντι βίῳ συγχωρούμεναι ὑπὸ τῶν ἄκρων ἀρχιερέων αὐθεντίας. Ινστρουμέντον, τὸ συμβόλαιον. Καγκελλάριον, τὸ χαρτοφυλάκιον. καὶ Προτοκαγκελλάριος, ὁ τοῦ Καγκελλαρίου ἐπιστάτης. ἦν δὲ τοῦτ' ἔχων τὸ ἀξίωμα ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ὅτε καὶ ταῦτα ἐπράττετο, Ἀλέξανδρος ὁ Φαρνέσιος Καρδινάλις ὁ τὴν ἐπικύρωσιν τῆς συνόδου γεγραφὼς, Παύλου τρίτου τοῦ ἀοιδίμου καὶ κρατίστου ἀρχιερέως ἐκείνου τοῦ τὴν σύνοδον ταύτην συστησαμένου ἔγγονος, ἀνὴρ εὐσεβείᾳ καὶ συνέσει προέχων καὶ πολιτικῶν πράξεων ἐμπειρίᾳ οὐδενὸς δεύτερος. Καθιέρωσις, ἡ διὰ τῆς μυστικῆς ἐπικλήσεως ἱερουργηθεῖσα μεταποίησις εἴτουν μετουσίωσις. καὶ Καθιεροῦν, τὸ μεταποιεῖν τὸν ἄρτον καὶ τὸν οἶνον διὰ τῆς ἐπικλήσεως μετουσιωποιεῖν. Κανδήλων, τῶν κηρῶν. Κοινωνία ὑφ' ἑκατέρῳ τῷ εἴδει, ἡ μετάληψις ἀχράντων μυστηρίων ἐν εἴδεσι τοῦ ἄρτου καὶ τοῦ οἴνου. Λαιτάρε, εὐφράνθητι. κυριακὴ ἐν τῇ μεγάλῃ τεσσαρακοστῇ οὕτω λεγομένη. Λειτουργικὸν βιβλίον, τὸ περιέχον τὴν τῆς λειτουργίας ἀκολουθίαν. Λιγάτοι, οἱ τοποτηρηταί. Μεσιτεία, ἡ πρεσβεία. Νούγκιοι, οἱ ἀποκρισιάριοι. Ορδινάριος, ὁ νομίμως διατεταγμένος ἢ διωρισμένος. Οστιάριος, ὁ πυλωρός. Παλάτιον, ἡ οἰκία. Πουργατόριον, τὸ καθαρτήριον πῦρ. Πρεσβεύται, οἱ ἀποκρισιάριοι. Προτεστάντες, οἱ διαμαρτυρούμενοι. Ρελιγιόνος ἐπαγγελία, ἡ τοῦ μοναχικοῦ βίου ἐπαγγελία. Σαλβοκονδοῦκτος, ἡ δημοσία πίστις. Σολλεμνιτάδος, τῆς τελετῆς δηλονότι τῆς τοῦ συναλλάττειν τὸν γάμον κατὰ πρόσωπον τῆς ἐκκλησίας. Σουσπενσιὼν, ἡ ἀνάρτησις, ἡ ὑπέρθεσις, εἴτουν ἀπόπαυσις κρεμαμένη. Σύμβολον, τὸ σύνθημα. Φάμωσα βιβλία, τὰ βλασφημίας ἔχοντα κατά τινων συγγράμματα. Φλώρας πεδίον, τόπος οὕτω λεγόμενος ἀπό τινος ἀρχαίας γυναικός. Χειροτονία, τὸ ἱερὸν τάγμα. Χρίσμα, τὸ εὐχέλαιον. καὶ χρίσις τελευταία, ἡ ἐν τοῖς τελευταίοις διὰ τοῦ ἁγίου ἐλαίου γινομένη.

ΤΟΙΣ ΕΚΑΣΤΑΧΟΥ ΧΡΙΣΤΩΝΥΜΟΙΣ Γραικοῖς

Ματθαῖος Δεβαρῆς ἐν κυρίῳ χαίρειν.



ΠΟλλάκις μὲν ἐν τοῖς προλαβοῦσι χρόνοις, οἱ τὴν τῶν χριστιανῶν ἀρχὴν πεπιστευμένοι, καὶ τὰς τοῦ χριστωνύμου πολιτεύματος νόσους, ἀρίστην καὶ κυριωτάτην θεραπείαν, τὰς οἰκουμενικὰς συνόδους καὶ τοὺς γενικοὺς τῶν ἐπισκόπων συλλόγους, τοῖς κακῶς διακειμένοις πράγμασι προσενηνόχασι. καθ᾽ ἡμᾶς δὲ εἴπερ καὶ ἄλλο τε, καιριώτατα καὶ προσφορώτατα τοῦτο πεποιήκασιν οἱ τοῦ κοινοῦ τῶν χριστιανῶν προεστῶτες. ὅτε τοῦ τῶν Αγαρηνῶν τυράννου, τοῦ κοινοῦ πολεμίου τοῦ τῶν χριστιανῶν ὀνόματος, ὅλην μὲν ἤδη σχεδὸν τὴν ὑμετέραν, καὶ πολλὰς ἄλλας τῆς χριστιανῶν γῆς πόλεις καὶ χώρας σὺν μεγίστῃ τοῦ χριστωνύμου πολιτεύματος ζημίᾳ καὶ ψυχῶν ἀποβολῇ κατεστραμμένου, τοῖς δὲ τῶν λοιπῶν πράγμασιν ἐπιβουλεύοντός τε καὶ ἤδη ἐπικειμένου. διχονοούντων δὲ καὶ στασιαζόντων πρὸς ἀλλήλοις τῶν ἐν χριστιανοῖς μεγίστων βασιλέων. πολλῶν δὲ οὐ μόνον κατ᾽ ἄνδρα, ἀλλ᾽ ὅλων πόλεων τοῦ Γερμανικοῦ ἔθνους τῆς καθολικῆς πίστεως ἀποκεχωρηκότων, τῆς δὲ Βρετανίας ἁπάσης τὴν ὀλεθριωτάτην νόσον αἵρεσιν νοσούσης. ἄρτι δὲ πολλοῦ τινος πλήθους ἀνθρώπων τῆς Κελτικῆς χώρας τοῦ καθολικοῦ καὶ ὀρθοδόξου σεβάσματος ἀπηλλοτριωμένων, καὶ τῷ τε ἑαυτῶν βασιλεῖ καὶ τοῖς ὀρθοδόξοις ἐπανεστηκότων, μίαν εἶναι ποίμνην καὶ μίαν τὴν ἐκκλησίαν τὰ πράγματα προσεδεῖτο. διόπερ καιριώτατα ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις, οἱ κοινοὶ τῶν χριστιανῶν προστάται καὶ κηδεμόνες, Ρωμαϊκοὶ ἀρχιερεῖς, πρῶτον μὲν ὁ τῆς μακαρίας μνήμης Παῦλος τρίτος, καὶ ὁ

ὁ τοῦτον διαδεξάμενος Ἰούλιος τρίτος, ἐπὶ πᾶσι δὲ Πῖος τέταρτος, τὴν ἐν Τριδέντῳ ἱερὰν σύνοδον συνεκρότησαν. ἧς οἱ θεσπέσιοι κανόνες σὺν τῇ προηγουμένῃ αὐτῶν περὶ πάσης ὡς εἰπεῖν τῆς ὀρθοδόξου πίστεως ἱερᾷ διδασκαλίᾳ πρώην κατὰ πρόσταξιν τοῦ τῆς μακαρίας μνήμης Πίου τετάρτου, εἰς τὴν ἀρχαίαν ὑμῶν διάλεκτον μεθερμηνευθέντες, νῦν τῇ τοῦ ἐκεῖνον διαδεξαμένου, καὶ πιστῶς τὴν τοῦ θεοῦ ἐκκλησίαν οἰακονομοῦντος Γρηγορίου ιγ΄ εὐμενείᾳ ὑμῖν διαδίδονται. ὅς γε δὴ καθὼς ἀγαθῷ οἰκοδεσπότῃ πρέπει, οὐ μόνον τῶν ὑπομαζίων τῆς Ῥωμαϊκῆς ἐκκλησίας τέκνων πρόνοιαν ἔχων, ἀλλὰ καὶ τῶν ἀπογεγαλακτισμένων καὶ μακρὰν ἀπῳκισμένων κηδόμενος, τὰ τῆς θεοπνεύστου ταυτησὶ συνόδου δόγματα, τοὺς κανόνας φημὶ καὶ τὴν ἑκασταχοῦ προηγουμένην αὐτῶν ἱερὰν διδασκαλίαν, ἄλλοις τέ τισι χριστιανῶν ἀνατολικοῖς ἔθνεσι, κατὰ τὴν ἑκάστων διάλεκτον, καὶ δὴ καὶ ὑμῖν κατὰ τὴν ἀρχαίαν ὑμῶν μεταπεφρασμένα διαδίδωσιν. ὅπως ἐπειδὴ πραττομένοις οὐ παρεγένεσθε τοῖς συνοδικοῖς, γεγραμμένοις κἂν γοῦν ἐντυγχάνοντες, ὠφεληθῆτε. καθορῶντες ἐν αὐτοῖς πασῶν τῶν αἱρέσεων τὴν ἀνατροπήν τε καὶ καθαίρεσιν εὐκρινεστάτῃ μεθόδῳ πεπραγματευμένην. Περὶ γὰρ τῶν μυστηρίων τῆς ἐκκλησίας καὶ ἑτέρων τινῶν ἀναγκαίων ἄρθρων διαλαμβάνουσα ἡ Τριδεντινὴ σύνοδος, πάντας τοὺς κατὰ πάντα χρόνον περί τι τούτων ἐπταικότας καὶ χωλάναντας διελέγχει τε καὶ κατακρίνει. τὸν μὲν ἔλεγχον ἐν τῇ προηγουμένῃ τῶν κανόνων διδασκαλίᾳ καθ' ἕκαστον τῶν μυστηρίων προστεθεῖσα. τὴν δὲ κατάκρισιν ἐν τοῖς κανόσι ποιουμένη. διείληφε δὲ ἡ σύνοδος αὕτη καὶ περί τινων ἑτέρων ἀναγκαίων μήπω τὸ μέχρι τοῦδε πεπραγματευμένων. οἷον περί τε τῆς προγονικῆς ἁμαρτίας καὶ περὶ δικαιώσεως καὶ ἑτέρων τινῶν πλεῖστον ὅσον ὠφελίμων. περὶ ὧν ἢ οὐδὲν ἐν ταῖς προλαβούσαις συνόδοις, ἢ οὐχ οὕτω γε εὐκρινῶς

καὶ

καὶ δαψιλῶς πεπραγμάτευται. ὥστε μὴ μόνον τὰς πάλαι συνόδους ἀνανεῶσαι, ἀλλὰ καὶ ὑπεξεργάσασθαί τε καὶ αὐξῆσαι δικαίως ἂν αὕτη λέγοιτο. περὶ δὲ τῶν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀναπεφυκότων ζιζανίων, τί δεῖ καὶ λέγειν ὅπως ἐκσπᾶται ταῦτα καὶ τοῦ σίτου διαχωρίζει. ἐν μὲν οὖν τοῖς κανόσι καὶ τῇ ἑκασταχοῦ προηγουμένῃ διδασκαλίᾳ ταῦτα περιέχεται. αἱ δέ γε λοιπαὶ τῆς συνόδου διατάξεις, ἐν τοῖς καλουμένοις δεκρέτοις περιέχονται. Παρὰ γὰρ τὰ προειρημένα πάντα, ἔτι καὶ περὶ τῆς τῶν ἐκκλησιαστικῶν καταστάσεως, καὶ τῆς τῶν ἠθῶν διορθώσεως ἀκριβέστατά τε καὶ πληρέστατα διείληφεν ἡ σύνοδος αὕτη καὶ ἐγγράφως παρέδωκεν. τὴν ὅμως περὶ τῆς τῶν ἐκκλησιαστικῶν καταστάσεως, καὶ τῆς τῶν ἠθῶν διορθώσεως πραγματείαν, οὐκ ἔδοξε τῷ κρατίστῳ ἀρχιερεῖ τὸ νῦν εἶναι δεῖν ὑμῖν διαπέμπειν, οὐχ ὅτι μὴ καὶ νῦν καὶ κατὰ πάντα χρόνον ἥτε γνῶσις καὶ χρῆσις αὐτῆς πλεῖστον ἂν ὑμῖν συνενέγκοι, ἀλλὰ τὰ μὲν ὅτι τῶν τῇ δυτικῇ μάλιστα ἐκκλησίᾳ προσηκόντων ἅπτεται ἡ πραγματεία ἐκείνη. ἔπειτα δὲ καὶ τῶν χρόνων ἕνεκα ἐν οἷς ἐσμέν, καὶ τῶν δυσχερῶν οἷς τὸ πλεῖστον τοῦ γένους ὑμῶν, ὡς οὐκ ὤφελε, κατέχεται. δι' ἃ οὐδὲν ἡμῖν ἔξεστιν οὔτε τῶν πολιτικῶν οὔτε τῶν ἐκκλησιαστικῶν μετακινεῖν. τέως οὖν τῶν τε κανόνων καὶ τῆς περὶ τούτων ἱερᾶς περὶ τῶν μυστηρίων τῆς ἐκκλησίας καὶ τῶν ἄλλων τῶν εἰς τὸ σέβας προσηκόντων πάντων διδασκαλίας ἀπολαύοντες, πρῶτον μὲν τῷ ἀρχηγῷ τῶν ἀγαθῶν θεῷ, χάριν ἔχετε, ὃς ὑμᾶς τοῖς χαρίσμασι τούτοις ἐπισκέπτεται. ἔπειτα δὲ τῷ τῆς μακαρίας μνήμης ἀρχιερεῖ Πίῳ τετάρτῳ, ὃς τὴν οἰκουμενικὴν σύνοδον ταύτην, ἐν τοῖς προλαβοῦσι χρόνοις ὑπὸ Παύλου τρίτου ἀρχιερέως συγκεκλημένην, ὕστερον δὲ πολλοῖς τισιν ἐμποδίσμασιν ἐπὶ συχνὸν χρόνον διακοπεῖσαν, μεγίστοις ἀναλώμασι καὶ συνεχεῖ ἐπιμελείᾳ ἀνέλαβέ τε καὶ συμπεπλήρωκε καὶ τὰ αὐ-

τῇ δε-

τῇ δεδογμένᾳ, τῇ ἀποστολικῇ αὐθεντίᾳ συνεκύρωσέ τε καὶ ἐξέδωκε. ἐπὶ πᾶσι δὲ, τῷ νῦν τὴν τοῦ θεοῦ ἐκκλησίαν πιστῶς οἰκονομοῦντι ἄκρῳ ἀρχιερεῖ Γρηγορίῳ ιγ´, ὃς τοὺς τῆς εἰρημένης συνόδου κανόνας καὶ τὴν περὶ τῶν μυστηρίων καὶ τῶν εἰς τὸ σέβας ἀνηκόντων λοιπῶν ἄρθρων διδασκαλίαν, πρῴην κατὰ τὴν ὑμετέραν ἀρχαίαν διάλεκτον ὡς εἴρηται μεταπεφρασμένα, νῦν ὑμῖν χορηγεῖ. καὶ τοῖς μὲν τῆς ἑνότητος τῆς ἐκκλησίας ἀπεσχισμένοις δυτικοῖς ἔθνεσί τε καὶ τῶν κατὰ μέρος ἑκάστοις ὅσοις περὶ τῆς καθολικῆς πίστεως καὶ θρησκείας κακῶς φρονοῦσι, παντοίας θεραπείας προσάγει, ὅπως τῆς ὀλεθριωτάτης νόσου τῆς αἱρέσεως ἀπαλλαγέντες, τὴν ὑγιαίνουσαν καὶ σωτηριώδη παιδείαν τῆς καθολικῆς μητρὸς ἐκκλησίας ἐπαναλάβοιεν. ὑμῖν δὲ καὶ ἄλλοις τῶν ἀνατολικῶν γενῶν μάλα συμπαθῶς τὴν εἰς τὸν κόλπον τῆς Ρωμαϊκῆς ἐκκλησίας ὅθεν ἀποκεχωρήκατε ἐπάνοδον προξενεῖ. ὅπως διά γε ταῦτα εὐγνωμονήσαντες, κἂν νῦν τὴν μητέρα Ρωμαϊκὴν ἐκκλησίαν ἀγκαλίσησθε. ἣν ἀρχῆθεν ἁπασῶν τῶν ἐκκλησιῶν κορυφαίαν νενομίσθαι, καὶ ἐν ταύτῃ τὸν δεσπότην Χριστὸν τὰς κλεῖς τῆς πίστεως ἐναποθέσθαι, τῶν ὑμετέρων προγόνων οἱ ἁγιώτατοι καὶ σοφώτατοι ἐν τοῖς ἑαυτῶν συγγράμμασι παραδεδώκασι. κἂν ταῖς κατ᾽ αὐτοὺς γενομέναις οἰκουμενικαῖς συνόδοις καὶ δημοσίοις συλλόγοις, τῷ ταύτης ἀρχιερεῖ τὰς θεοπρεπεστάτας καὶ μηδενὶ τῶν λοιπῶν ποιμένων ποτὲ δεδομένας προσηγορίας ἀπονενεμήκασιν. ὥστε καὶ προσκυνητὸν δεσπότην, καὶ ἄκρον καὶ μέγιστον ἀρχιερέα, καὶ ἐπίσκοπον τῶν ἁπανταχοῦ τῆς οἰκουμένης ἐκκλησιῶν, καὶ ἄλλα τοιαῦτα τὸν τῆς Ρώμης ἐπονομάζειν. ἐκεῖνο τοίνυν ἐνθυμηθέντες, ὡς ἀφ᾽ οὗ τῆς Ρωμαϊκῆς ἐκκλησίας ἀπεσχίσθητε, παντοίοις κακοῖς, ὡς μήποτ᾽ ὤφελε, περιεπέσετε. οἷς καὶ νῦν ἔτι τὸ πλεῖστον τοῦ γένους ὑμῶν ἐλεεινῶς συνέχεται.

συνέτε δὴ ὦ ἄνδρες ἤδη, καὶ φρονήσατε ποτὲ, καὶ τὴν σκλη-
ροκαρδίαν ἀποθέμενοι, ἐπάνιτε ὅθεν ἀποκεχω-
ρήκατε. καὶ μὴ περαιτέρω τὸ πνεῦμα τοῦ
θεοῦ, τοῦ τὴν ὑμετέραν ἐπιστρο-
φὴν μακροθύμως πε-
ριμένοντος
παραπικραίνετε. ᾧ ἡ δόξα εἰς τοὺς
αἰῶνας τῶν αἰώνων,
ἀμήν.



